2. βουλοίμεθα] βουλόμεθα A. ἐκέλευε Ω et v. ἐκέλευσε ΑΛ male. παραγένοιτο ΑΩΛ et v. παρεγένετο D solus. αὐτοὺς ἂν ἀπομνημονεῦσαι Bekker. libri αὐτοὺς ἀπομνημονεῦσαι. μὴ παρέργως — ἀλλ' ἐν σπουδῇ] alibi σὺν σπουδῇ exstat ut in l. gemino De Morte Peregr. § 12 med: οὐ παρέργως, ἀλλὰ σὺν σπουδῇ. confer etiam Platonem in Sympos. p. 192, C: οὕτως ἐπὶ μεγάλης σπουδῆς. οὐκ ἂν φθάνοις ΑΛ et v. οὐκ ἂν φθόνοις D. οὐκ ἂν φθονοῖς Ω. ἑστιῶν] ἑστιῶν ἂν ΑΛ. libri οὐκ οἶδ' ἄν τις. Struvius in L. L. p. 251 οὐκ οἶδα ἥτις, Bekker autem οὐκ οἶδα τίς conjecerunt. immo scribendum erat, οὐκ οἶδ' εἴ τις —, quod non semper (uti vel Hom. Jl. ὀ, 16 docet), attamen plerumque est negantis, ut infra § 3: ὃς οὐκ οἶδα εἴ τινα — περιεῖδεν. nam ἄν, quod ante v. ἀπομνημονεῦσαι exciderat, e margine locis insertum est alienis, huic nostro οὐκ οἶδ' ἂν in omnibus codd. et paullo ante: ἑστιῶν ἄν. atticum οὐκ οἶδ' ἂν εἰ πείσαιμι, de quo vide Elmslejum ad Eurip. Med. v. 911 et Schaeferum ad Demosth. V p. 169, nusquam habet Lucianus. ἀναιμωτὶ ἄνευ ἔξω Λ. παρὰ] περὶ A. προαχθέντες] προαχθέντας ΑΩ.

3. διηγουμένοις Ya. τῶν αὐτοῦ Dindorfius pro τῶν αὐτοῦ. οὖν] γοῦν Λ. ἀνθρώπων ἢ ΩΛ et v. ἀνθρώπων ἢ A.

οἶδα εἴ τινα τῶν αὐτοῦ ὀργίων ἀτέλεστον καὶ ἀβάκχευτον περιεῖδεν. ὅρα οὖν μὴ κακοήθων τινῶν ἀνθρώπων ᾖ τὸ ἀκριβῶς τὰ τοιαῦτα ἐξετάζειν, ἃ καλῶς εἶχεν ἐν τῷ συμποσίῳ καταλιπόντας ἀπαλλάττεσθαι. „μισῶ γάρ, φησὶ καὶ ὁ ποιητικὸς λόγος, μνάμονα συμπόταν.“ καὶ οὐδὲ ὁ Διόνικος ὀρθῶς ἐποίησε πρὸς τὸν Χαρῖνον ταῦτα ἐξαγορεύσας καὶ πολλὴν τὴν ἑωλοκρασίαν κατασκεδάσας ἀνδρῶν φιλοσόφων· ἐγὼ δέ, ἄπαγε, οὐκ ἄν τι τοιοῦτον εἴποιμι. 4. ΦΙΛ. θρύπτῃ ταῦτα, ὦ Λυκῖνε. ἀλλ' οὔτοι γε πρὸς ἐμὲ οὕτω ποιεῖν ἐχρῆν, ὃς ἀκριβῶς οἶδα πολὺ πλέον ἐπιθυμοῦντά σε εἰπεῖν ἢ ἐμὲ ἀκοῦσαι. καί μοι δοκεῖς, εἰ ἀπορήσειας τῶν ἀκουσο-
421 *μένων, κἂν πρὸς κίονά * τινα ἢ πρὸς ἀνδριάντα ἡδέως ἂν προσελθὼν ἐκχέαι πάντα συνείρων ἀμυστί. εἰ γοῦν ἐθελήσω ἀπαλλάττεσθαι νῦν, οὐκ ἐάσεις με ἀνήκοον ἀπελθεῖν, ἀλλ' ἕξῃ καὶ παρακολουθήσεις καὶ δεήσῃ. κἀγὼ θρύψομαι πρὸς σὲ ἐν τῷ μέρει· καὶ εἴ γε δοκεῖ,*

καλῶς ἔχει ΑΩΛ et v, quod defendi potest. sed *καλῶς ἔχειν* D, unde malui: *καλῶς εἶχεν.* jam enim Dionicus hujus convivii arcana prodere coeperat. vide etiam infra § 9 et De Merc. Cond. § 5. *καλῶς ἔχει* praesens (cum infinitivo) recte habet in Catapl. § 19 init. *μισῶ* libri, sed praestat *μισέω*, itaque scriptum hoc proverbium adtulit Plutarchus in Prooemio Quaestt. Sympos: *μισέω μνάμονα συμπόταν*, qui versus esse potuit glyconeus. cf. Meinekius ad Theocrit. p. 455 ed. tert. *ὁ* ante *Διόνικος* om *Λ*.

ταῦτα ἐξαγορεύσας A et fortassis *Ω*. *αὐτὰ ἐξαγορεύσας Λ* et v. *τὴν* ΑΩΛ scholiastes et v. *τὴν* om D solus. *ἑωλοκρασίαν κατασκεδάσας*] sumsit Lucianus e Demosthene 18, 50.

4. *θρύπτῃ ταῦτα*] similem sententiam in Nigrino § 6 med. bene Hemsterhusius in Anecd. p. (30) cum comicorum locis comparavit ut Apollodori sive Terenti Hecyr. I, 2, 35. sed nostrum locum jam in Quaestt. L. § 74 judicavi verbis ipsis conspirantibus haud dubie expressum esse e Platon. Phaedro p. 228, c: *δεομένου δὲ λέγειν τοῦ τῶν λόγων ἐραστοῦ, ἐθρύπτετο ὡς δὴ οὐκ ἐπιθυμῶν λέγειν κ. τ. ἑ.* verbum enim *θρύπτεσθαι* quis esse nescit amatorium? nempe Lucianus qui hic turpia turpius prodit, hoc adsignificat, fastidiosi amatoris esse, pulchro Philoni (§ 48: *ὦ καλὲ Φίλων*) tanquam amasio quidquam negare.
θρύπτῃ — θρύψομαι] *κρύπτῃ — κρύψομαι* Parisinus 1041 ap. Boissonadium ad Philostr. Her. p. 338. *οὔτοι γε* A. *οὔτι γε Ω* et v.

ἀπίωμεν ἄλλου αὐτὰ πευσόμενοι, σὺ δὲ μὴ λέγε. ΛΥΚ. μηδὲν πρὸς ὀργήν· διηγήσομαι γάρ, ἐπείπερ οὕτω προθυμῇ, ἀλλ' ὅπως μὴ πρὸς πολλοὺς ἐρεῖς. ΦΙΛ. εἰ μὴ παντάπασιν ἐγὼ ἐπιλέλησμαι Λυκίνου, αὐτὸς σὺ ἄμεινον ποιήσεις· αὐτὸ καὶ φθάσεις εἰπὼν ἅπασιν, ὥστε οὐδὲν ἐμοῦ δεήσει. 5. *ἀλλ' ἐκεῖνό μοι πρῶτον εἰπὲ, τῷ παιδὶ τῷ Ζήνωνι ὁ Ἀρισταίνετος ἀγόμενος γυναῖκα εἱστία ὑμᾶς; ΛΥΚ. οὔκ, ἀλλὰ τὴν θυγατέρα ἐξεδίδου αὐτὸς τὴν Κλεανθίδα τῷ Εὐκρίτου*
*τοῦ δανειστικοῦ τῷ φιλοσοφοῦντι. * ΦΙΛ. παγκάλῳ νὴ* 422
Δία μειρακίῳ, ἁπαλῷ γε μὴν ἔτι καὶ οὐ πάνυ καθ' ὥραν γάμων. ΛΥΚ. ἀλλ' οὐκ εἶχεν ἄλλον ἐπιτηδειότερον, οἶμαι. τοῦτον οὖν κόσμιόν τε εἶναι δοκοῦντα καὶ πρὸς φιλοσοφίαν ὡρμημένον, ἔτι δὲ μόνον ὄντα πλουσίῳ τῷ Εὐκρίτῳ, προείλετο νυμφίον ἐξ ἁπάντων. ΦΙΛ. οὐ μικρὰν λέγεις αἰτίαν τὸ πλουτεῖν τὸν Εὔκριτον. ἀτὰρ οὖν ὦ Λυκῖνε, τίνες οἱ δειπνοῦντες ἦσαν; 6. *ΛΥΚ. τοὺς μὲν ἄλλους τί ἄν σοι λέγοιμι; οἱ δὲ*

οὕτω] *οὕτως* Ωa. *ὃς ἀκριβῶς οἶδα πολὺ πλέον* DΛ probante uno Solano. *ὃς ἀκριβῶς πολὺ πλέον* (verbo *οἶδα* plane omisso) Ω. *ὃς ἀκριβῶς πολὺ πλέον* (*πόλυ πλεον* A) et deinceps (*οἶδα* addito): *εἰπεῖν οἶδα, ἢ ἐμὲ* A et Parisinus ap. Boissonad. ad Philostr. Her. p. 299. *ἀκριβῶς γιγνώσκων* (*γινώσκων* a, *γιγνώσκοντα* fgu) *πολὺ πλέον* vulgo. *πάντα*] *ἅπαντα* Λ (?). *ἀλλ'* (*ἀλλὰ* AΛ) *ἥξεις* DΛbcd. *ἀλλὰ ἕξεις* Ωa, unde Reitziana: *ἀλλ' ἕξεις*. correxi in Quaestt. L. p. 207: *ἀλλ' ἕξει* (sive ut nunc cum Dindorfio edidi: *ἀλλ' ἕξῃ*). *πρὸς σὲ ἐν τῷ μέρει*] *ἐν τῷ μέρει πρὸς σὲ* codex ap. Boissonad. l. l. p. 338. *πευσόμεθα* Λ. *μηδὲν πρὸς ὀργὴν* (*ὀργῆν* A)] Quaestt. L. p. 74. *οὕτω*] *οὕτως* AΩΛa. *αὐτὸς σὺ*] *αὐτὸς* om A, fortassis recte. *φθάσεις*] *φθάσῃ* (sic) a. *δεήσει* Lehmannus et sic Λ. (at ap. Boissonad. l. l. p. 338 codex paullo ante *καὶ δεήσει* pro *καὶ δεήσῃ*). nostro loco *δεήσῃ* A et v, sed Ω: *δεησῃ*.

5. *οὔκ* pro *οὐκ* A. *Εὐκρίτου*] *εὐκρίτῳ* A. *κόσμιόν τε*] *τε* om A. at vulgatae favet scriptura inferior *πλούσιόν τε* (pro *πλουσίῳ*), quae ex hoc ipso loco nata est. *ὄντα πλουσίῳ τῷ*] *ὄντα πλούσιόν τε τῷ* DΛΩ. *ὄντα τῷ* (omisso *πλουσίῳ*) A. *προείλετο*] *προσείλετο* A. *τὸ πλουτεῖν*] *τοῦ πλουτεῖν* D. *ἀτὰρ οὖν* AΩΛa. cf. Boissonad. ad Philostr. Epist. p. 128. *ἀτὰρ* vulgo.

ἀπὸ φιλοσοφίας καὶ λόγων, οὕσπερ ἐθέλεις οἶμαι ἀκοῦ-
σαι μάλιστα, Ζηνόθεμις ἦν ὁ πρεσβύτης τῶν ἀπὸ τῆς
στοᾶς καὶ ξὺν αὐτῷ Δίφιλος ὁ λαβύρινθος ἐπίκλην,
διδάσκαλος οὗτος ὢν τοῦ Ἀρισταινέτου υἱέος τοῦ Ζή-
νωνος· τῶν δὲ ἀπὸ τοῦ περιπάτου Κλεόδημος. οἶσθα
τὸν στωμύλον, τὸν ἐλεγκτικόν· ξίφος αὐτὸν οἱ μαθηταὶ
καὶ κοπίδα καλοῦσιν. ἀλλὰ καὶ ὁ Ἐπικούρειος Ἕρμων
παρῆν· καὶ εἰσελθόντα γε αὐτὸν εὐθὺς ὑπεβλέποντο
423 οἱ Στωϊκοὶ * καὶ ἀπεστρέφοντο καὶ δῆλοι ἦσαν ὥς τινα
πατραλοίαν καὶ ἐναγῆ μυσαττόμενοι. οὗτοι μὲν αὐτοῦ
Ἀρισταινέτου φίλοι καὶ συνήθεις ὄντες παρεκέκληντο
ἐπὶ δεῖπνον καὶ ξὺν αὐτοῖς ὁ γραμματικὸς Ἱστιαῖος καὶ

---

6. ὁ πρεσβύτης ἀπὸ τῆς στοᾶς D. ὁ πρεσβύτης ὁ ἀπὸ τῆς στοᾶς ΑΩΛ et v. enimvero scripsi: ὁ πρεσβύτης τῶν ἀπὸ τῆς στοᾶς, ut res ipsa poscit: neque enim unus aderat stoicus sed duo, Zeuothemis et Diphilus. poscit etiam structurae ratio, quae ita se habet: Ζηνόθεμις ἦν — τῶν ἀπὸ τῆς στοᾶς καὶ ξὺν αὐτῷ Δίφιλος, — τῶν δὲ ἀπὸ τοῦ περιπάτου Κλεόδημος (scil. ἦν). οὗτος ὢν ΑΛ. νῦν οὗτος Ω et v. τοῦ Ἀρισταινέτου] τοῦ om D. υἱέος Ω et v. υἱέως ΑΛ. Κλεόδημος] κλεόδημον Ω. κλεόμηδος A. Cleodemus Peripateticus est etiam in Philopseude § 6. sed neque hunc neque illum qui in Hermotim. § 11 exstat Euthydemum Peripateticos Luciano aequales aliunde novi. at Luciani tempore vixit Εὔδημος Peripateticus teste Galeno II p. 218 et XIV p. 615 ed. Kuehn., qui hoc nomen ab Eudemo Rhodio, Peripatetico nobilissimo honoris causa adsumsisse videtur. στωμύλου[ν] Λ. et § 7 fin: παρῆλθον[ε]. et § 9 init: κατ'. ὥς τινα ΑΩ. ὥσπερ τινὰ Λ et v. vide infra § 7: ὥς τινα τῶν κρειττόνων, Demonact. § 11: ὥς (ὥσπερ F solus) τινα τῶν κρειττόνων. sed in Alexand. § 9 libri omnes: ὥσπερ τινὰ τῶν ἐπουρανίων. πατραλλοίαν Aa. αὐτοῦ ἀρισταινέτου ΑΛ. ἀρισταινέτου αὐτοῦ Ω et v. παρεκέκληντο] παρεκέκλιντο D. παρακέκληντο g. ἐπὶ δεῖπνον] de certo convivio agitur. itaque articulum desidero: ἐπὶ τὸ δεῖπνον collatis Nigrin. § 24, Timone § 54, De Merc. Cond. § 14, Gallo § 7 fin. contra cave mutes ἐπὶ δεῖπνον in Charone § 6. καὶ ξὺν αὐτοῖς[ῶ] A (ῶ supra a prima manu), καὶ ξὺν αὐτῶι Ω, qui error fluxit e superiore illo: καὶ ξὺν αὐτῷ Δίφιλος. Ἱστιαῖος] ἱστιαῖος A, qui idem infra § 9 fin.: ἱστιαῖος.

ὁ ῥήτωρ Διονυσόδωρος. 7. διὰ δὲ τὸν νυμφίον τὸν
Χαιρέαν Ἴων ὁ Πλατωνικὸς συνειστιᾶτο διδάσκαλος
αὐτοῦ ὤν, σεμνός τις ἰδεῖν καὶ θεοπρεπὴς καὶ πολὺ τὸ
κόσμιον ἐπιφαίνων τῷ προσώπῳ· κανόνα γοῦν οἱ πολλοὶ
ὀνομάζουσιν αὐτὸν εἰς τὴν ὀρθότητα τῆς γνώμης ἀπο-
βλέποντες. καὶ ἐπεὶ παρῆλθεν, ὑπεξανίσταντο πάντες
αὐτῷ καὶ ἐδεξιοῦντο ὥς τινα τῶν κρειττόνων· καὶ ὅλως
θεοῦ ἐπιδημία τὸ πρᾶγμα ἦν, Ἴων ὁ θαυμαστὸς συμ-
παρών. 8. δέον δὲ ἤδη κατακλίνεσθαι ἁπάντων σχεδὸν
παρόντων, ἐν δεξιᾷ μὲν εἰσιόντων αἱ γυναῖκες ὅλον τὸν
κλιντῆρα ἐκεῖνον ἐπέλαβον, οὐκ ὀλίγαι οὖσαι, καὶ ἐν
αὐταῖς ἡ νύμφη πάνυ ἀκριβῶς ἐγκεκαλυμμένη, ὑπὸ τῶν
γυναικῶν περιεχομένη· ἐς δὲ τὸ ἀντίθυρον * ἡ ἄλλη 424
πληθύς, ὡς ἕκαστος ἀξίας εἶχε. 9. κατ' ἀντικρὺ δὲ τῶν
γυναικῶν πρῶτος ὁ Εὔκριτος, εἶτα Ἀρισταίνετος. εἶτα
ἐνεδοιάζετο, πότερον χρὴ πρότερον Ζηνόθεμιν τὸν
Στωϊκὸν ἅτε γέροντα, ἢ Ἕρμωνα τὸν Ἐπικούρειον·
ἱερεὺς γὰρ ἦν τοῖν ἀνάκοιν καὶ γένους τοῦ πρώτου ἐν
τῇ πόλει. ἀλλ' ὁ Ζηνόθεμις ἔλυσε τὴν ἀπορίαν· εἰ γάρ
με, φησίν, ὦ Ἀρισταίνετε, δεύτερον ἄξεις τουτουΐ,
ἀνδρός, ἵνα μηδὲν ἄλλο κακὸν εἴπω, Ἐπικουρείου,
ἄπειμι ὅλον σοι τὸ συμπόσιον καταλιπών· καὶ ἅμα τὸν

7. Ἴων] Jon Platonicus Luciano aequalis est etiam in Philopseud. § 6. συνειστιᾶτο] συνεστιᾶται D. ἐπιφαίνων] ἐμφαίνων Cobetus V. L. p. 211. at vide nos ad Alexand. § 3. εἰς] ἐς Α. γνώσεως Α.

8. τὸ ἀντίθυρον DAΑ. τὸν ἀντίθυρον Ωa et v. ἀξίας] ἀξίως Α.

9. δὲ om Α. εἶτα Ἀρισταίνετος ΑΩa. εἶτα ὁ Ἀρισταίνετος Α et v. τὸν Στωϊκὸν] τῶν στωϊκὸν A. ἀλλ' pro ἀλλὰ Bekker. ἔλυσε τὴν ἀπορίαν ΑΩΑ. τὴν ἀπορίαν ἔλυσεν a et v. ἄξεις τουτουΐ A. ἄξεις Ἕρμωνος τουτουΐ Ω et v. istuc Ἕρμωνος conjectura ductus optime expunxit Jacobsius ad Porsoni Adversar. p. 304, qnod hoc nomine omisso longe fortior sit contemtionis significatio. plerique libri τουτουΐ τοῦ ἀνδρός. articulum τοῦ ego olim et nuper Bekker delevimus. ἕξεις (sic) ἕρμωνος τουτουὶ ἀνδρὸς (om τοῦ) Α in textu, cujus scholiasta legerat τοῦ,[α] non item ἕρμωνος. schol: τουτουὶ τοῦ ἀνδρός: ἕρμωνος. εἴπω

παῖδα ἐκάλει καὶ ἐξιόντι ἐῴκει. καὶ ὁ Ἕρμων, ἔχε μὲν, ὦ Ζηνόθεμι, τὰ πρῶτα, ἔφη· ἀτὰρ εἰ μηδέν τι ἕτερον, ἱερεῖ γε ὄντι ὑπεξίστασθαι καλῶς εἶχεν, εἰ καὶ τοῦ Ἐπικούρου πάνυ καταπεφρόνηκας. ἐγέλασα, ἦδ' ὃς ὁ Ζηνόθεμις, Ἐπικούρειον ἱερέα· καὶ ἅμα λέγων κατεκλίνετο καὶ μετ' αὐτὸν ὅμως ὁ Ἕρμων, εἶτα Κλεόδημος ὁ Περιπατητικὸς, εἶτα ὁ Ἴων καὶ ὑπ' ἐκεῖνον ὁ νυμφίος, εἶτ' ἐγὼ καὶ παρ' ἐμὲ ὁ Δίφιλος καὶ ὑπ' αὐτῷ Ζήνων ὁ μαθητὴς, εἶτα ὁ ῥήτωρ Διονυσόδωρος, καὶ ὁ γραμματικὸς Ἱστιαῖος. 10. ΦΙΛ. βαβαὶ, ὦ Λυκῖνε, μουσεῖόν τι τὸ * συμπόσιον διηγῇ σοφῶν ἀνδρῶν τῶν πλείστων, καὶ ἔγωγε τὸν Ἀρισταίνετον ἐπαινῶ, ὅτι τὴν εὐκταιοτάτην ἑορτὴν ἄγων τοὺς σοφωτάτους ἑστιᾶν πρὸ τῶν ἄλλων ἠξίωσεν, ὅτιπερ τὸ κεφάλαιον ἐξ ἑκάστης αἱρέσεως ἀπανθισάμενος, οὐχὶ τοὺς μὲν, τοὺς δ' οὔ, ἀλλ' ἀναμὶξ ἅπαντας. ΛΥΚ. ἔστι γὰρ, ὦ ἑταῖρε, οὐχὶ τῶν πολλῶν τούτων πλουσίων, ἀλλὰ καὶ παιδείας μέλει αὐτῷ, καὶ τὸ πλεῖστον τοῦ βίου τοῖς τοιούτοις ξύνεστιν. 11. εἱστιώμεθα οὖν ἐν ἡσυχίᾳ τὸ πρῶτον, καὶ παρεσκεύαστο ποικίλα. πλὴν οὐδὲν, οἶμαι, χρὴ καὶ ταῦτα καταριθμεῖσθαι, χυμοὺς καὶ πέμματα καὶ καρυκείας· ἅπαντα γὰρ ἄφθονα. ἐν τούτῳ δὲ ὁ Κλεόδημος ἐπι-

---

ἐπικουρείου ἄλλο [β] κακόν (sic) Δ. ὅλον σοι ΑΔ et v. ὅλον (omisso σοι) Ωa male. vide Saturnal. § 32. ἐῴκει] ἐώκει A.

ἀτὰρ εἰ] ita conjeci. libri ἀτὰρ εἰ καὶ —. ineptum καὶ natum videtur ex inferioribus: εἰ καὶ τοῦ Ἐπικούρου. μηδέν τι ἕτερον] μηδὲν ἕτερον Cobetus V. L. p. 211. ἱερεῖ γε ὄντι om D. πάνυ om DΔ. Ζήνων ὁ μαθητὴς ΑΩΔ et edd. ante Reitzium. ὁ ζήνων ὁ μαθητὴς D.

10. βαβαὶ recte libri, etiam Δ, qui paullo ante: καὶ μετὰ αὐτὸν —. σοφῶν ἀνδρῶν τῶν πλείστων DA et (quod miror) Ω. σοφῶν τῶν πλείστων ἀνδρῶν edd. ante Schmiederum. σοφῶν τὸ πλεῖστον ἀνδρῶν Δ ap. Belinum, at in mea collatione: σοφῶν ἀνδρῶν τὸν πλεῖστον. τοὺς δ' (vel τοὺσδ') οὔ, ἀλλ' Ω et v. τοὺς δὲ, οὔ. ἀλλὰ ΑΔ. τοῖς τοιούτοις ΩΔ et v. τούτοις A.

11. γοῦν pro οὖν et mox οὐδὲ pro οὐδὲν Δ. τοπρῶτον A. πέμματα καὶ χυμοὺς Δ. ἅπαντα γάρ ἄφθονα] in A folium desinit his verbis: ἅπαντα γὰρ et proximum sic incipit: τῷ

κύψας ἐς τὸν Ἴωνα, ὁρᾷς, ἔφη, τὸν γέροντα (Ζηνόθεμιν λέγων, ἐπήκουον γὰρ) ὅπως ἐμφορεῖται τῶν ὄψων καὶ ἀναπέπλησται ζωμοῦ τὸ ἱμάτιον, καὶ ὅσα τῷ παιδὶ κατόπιν ἑστῶτι ὀρέγει λανθάνειν οἰόμενος τοὺς ἄλλους, οὐ μεμνημένος τῶν μεθ᾽ αὐτόν; δεῖξον οὖν καὶ Λυκίνῳ ταῦτα, ὡς μάρτυς εἴη. ἐγὼ δὲ οὐδὲν ἐδεόμην δείξοντός μοι τοῦ Ἴωνος, πολὺ πρότερον αὐτὰ ἐκ περιωπῆς ἑωρακώς. 12. ἅμα δὲ ταῦτα ὁ Κλεόδημος εἰρήκει, καὶ ἐπεισέπαισεν ὁ Κυνικὸς Ἀλκιδάμας ἄκλητος * ἐκεῖνο τὸ 426
κοινὸν ἐπιχαριεντισάμενος, τὸν Μενέλαον αὐτόματον ἥκοντα. τοῖς μὲν οὖν πολλοῖς ἀναίσχυντα ἐδόκει πεποιηκέναι καὶ ὑπέκρουον τὰ προχειρότατα, ὁ μὲν τὸ ‚ἀφραίνεις Μενέλαε‘, ὁ δ᾽ ‚ἀλλ᾽ οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε θυμῷ‘, καὶ ἄλλα πρὸς τὸν καιρὸν εὔστοχα καὶ χαρίεντα ὑποτονθορύζοντες. ἐς μέντοι τὸ φανερὸν οὐ-

---

τέχνα, ἄφθονα. aberratum est ad alienam codicis qui describebatur paginam sic incipientem ‚τὼ τέχνα‘ (sive ad Piscator. § 20, ubi est τὼ τέχνα, sive potius ad alium locum Luciani geminum et vicinum): quo errore deprehenso noster dialogus (ἄφθονα —) a scriba continuatus est. possunt tamen voces τὼ τέχνα (praesertim ab initio folii) etiam pro scholii deperditi particula haberi. cave igitur in verbis τὼ τέχνα aliam et eam ipsius Luciani scripturam latere putes reconditam velut ἀτεχνῶς. vide nos infra ad § 39 fin. ἄφθονα. ἐν τούτῳ] scribe cum Bekkero: ἄφθονα ἦν. ἐν τούτῳ —. μεθ᾽ αὐτὸν AΛ et v. μεθ᾽ ἑαυτὸν DΩ. πρότερον] πρότερος AΛ. ἐκ περιωπῆς] id est, ὡς ἐκ περιωπῆς, de observatione diligentissima. confer Zeuxin § 4: οἷον ἀπό τινος σκοπῆς et Cic. Epp. ad Famil. IV, 3: ‚tanquam ex aliqua specula prospexi‘, ubi vide interpretes. non prorsus recte Jacobsius ad Achill. Tat. p. 657.

12. ἅμα δὲ] ἅμα οὖν AΛ. εἰρήκει A et deinceps ἥκοντα — ἥνδανε — ἔτολμα. ἐπεισέπεσεν AΩΛ et v, sed ἐπεισέπαισεν ‚unus codicum Vaticanorum‘ (Γ puta) ap. Bastium ad Gregor. Cor. p. 403 itaque critici multi certatim. κοινὸν] κυνικὸν D. τὸν Μ. αὐτόματον ἥκοντα] adludit ad Jl. β', 408. ἀφραίνεις Μ.] ex Jl. η', 109: ἀφραίνεις Μενέλαε διοτρεφὲς —. Μενέλαε] διοτρεφὲς add. non Λ sed fortasse M (ex Homero sc.) — δὲ et mox ἥνδανε Λ. ἀλλ᾽ οὐκ — θυμῷ] ex Jl. α', 24. καὶ ἄλλα] καὶ ἄλλοι ἄλλα Bekker sine ulla causa. cave quidquam mutes. ὑποτονθυρίζοντες A. ἐδεδοίκεσαν DAΩΛa. ἐδεδοίκεισαν v.

δεὶς ἐτόλμα λέγειν· ἐδεδοίκεσαν γὰρ τὸν Ἀλκιδάμαντα, βοὴν ἀγαθὸν ἀτεχνῶς ὄντα, καὶ κρακτικώτατον Κυνῶν ἁπάντων, παρ' ὃ καὶ ἀμείνων ἐδόκει καὶ φοβερώτατος ἦν ἅπασιν. 13. *ὁ δὲ Ἀρισταίνετος ἐπαινέσας αὐτὸν ἐκέλευε θρόνον τινὰ λαβόντα καθίζεσθαι παρ' Ἱστιαῖόν*

βόην ἀτεχνῶς ὄντα DAa scholiasta et v. et (qui fortasse *βοὴν*) Ω. *βόην* (sic) *ἀγαθὸν ὄντα* (omisso *ἀτεχνῶς*) non Λ sed M et sic margo Juntinae: ,*ἀτεχνῶς*] fors. *ἀγαθόν*' eodemque modo conjecit Solanus: ,*βόην* (sic, sed voluit opinor *βοὴν*) *ἀγαθὸν ὄντα*'. e scholii ad h. l. initio patet, antiquitus *βοὴν* (hoc accentu) *ἀτεχνῶς ὄντα* scriptum fuisse, sed jam olim (saeculo quasi XI°) conjectorem id quod in DA est substituisse: *βόην ἀτεχνῶς ὄντα*. verissime ego in Quaestt. L. p. 128 correxi: *βοὴν ἀγαθὸν ἀτεχνῶς ὄντα*, (et sic opinor Λ), quod ab Lehmanno et (in ed. Paris.) Dindorfio susceptum est. certo enim respicitur ad Jl. β', 408 de Menelao, qui invocatus ad coenam venerat: *αὐτόματος δέ οἱ ἦλθε* (*δ' ἥκει* scholium in Λ) *βοὴν ἀγαθὸς Μενέλαος*. quod ad vocem *ἀτεχνῶς* adtinet, quam neque codices neque res ipsa deleri sinunt, ostendi l. l. *ἀτεχνῶς* in similitudine ad rem transferenda dici solere adlato etiam Platonico illo ex Jone: *ἀτεχνῶς ὥσπερ ὁ Πρωτεὺς, παντοδαπὸς γίγνῃ* atque etiam hic plenius dici potuisse: *ἀτεχνῶς ὥσπερ ὁ Μενέλαος ἦν, βοὴν ἀγαθὸν ὄντα*. ergo frustra editum est ab Bekkero: *βοὴν ἀγαθὸν ὄντα* (sine *ἀτεχνῶς*). caeterum Lobeckius in Paralip. p. 540 bene ille quidem negavit Luciani esse posse *βόην* verbum tam insolitum, sed idem infeliciter l. l. et ibid. p. 41 ita legi voluit: *βοὴν ἀτεχνῶς ὄντα*, quod probari non poterit, nisi quis forte in Homero suo Jl. β', 408 conjicere voluerit ,*βοὴ Μενέλαος*' pro *βοὴν ἀγαθὸς Μενέλαος*. adeone mirum est post *βοὴν* in plerisque codd. voculam *ἀγαθόν* excidisse? sed Lobeckius meam emendationem non videtur cognitam habuisse. denique in Platon. Sympos. p. 174, B, ubi verissime libri: *ὡς ἄρα καὶ ἀγαθῶν ἐπὶ δαῖτας ἴασιν αὐτόματοι ἀγαθοί*, mirificam conjecturam C. Lachmanni: *ὡς ἄρα καὶ Ἀγάθων' ἐπὶ δαῖτας* —, quae explodenda erat, ab O. Jahnio video receptam esse. *κρακτικώτατον*] scholiasta videri potest legisse *κρακτικόν*. Λ pr: *κρατικώτατον* et sec mg. *κραυγικώτατον*. *κυνῶν* D. *κυνικῶν* AΩΛ et v. *παρ' ὃ*] *παρὸ* A. *παρ' ὧ* pr Λ. *ἀμείνων ἐδόκει*] nudus comparativus ferri vix potest. quare haec ita transpono: *καὶ κρακτικώτατον, παρ' ὃ καὶ Κυνῶν ἁπάντων ἀμείνων ἐδόκει.*

13. *ἐκέλευσε* Λ. *καθίζεσθαι* AΩ et v. *καθέζεσθαι* DΛ. *παρ'* DAΩΛ. *παρὰ* v. *ἐπιθρόνου* A. *καθέζεσθαι* DΛ. *ὑμεῖς*] *ἡμεῖς* cd. *ὕπτιοι* om Ωa. *ἑστιᾶσθαι* cd. *κά-*

τε καὶ Διονυσόδωρον· ὁ δέ, ἄπαγέ φησι, γυναικεῖον
λέγεις καὶ μαλθακὸν ἐπὶ θρόνου καθίζεσθαι ἢ σκίμπο-
δος, ὥσπερ ὑμεῖς ἐπὶ μαλακῆς ταύτης εὐνῆς * μικροῦ 427
δεῖν ὕπτιοι κατακείμενοι ἑστιᾶσθε πορφυρίδας ὑποβε-
βλημένοι. ἐγὼ δὲ κἂν ὀρθοστάδην δειπνήσαιμι ἐμπερι-
πατῶν ἅμα τῷ συμποσίῳ· εἰ δὲ καὶ κάμοιμι, χαμαὶ
τὸν τρίβωνα ὑποβαλόμενος κείσομαι ἐπ' ἀγκῶνος, οἷον
τὸν Ἡρακλέα γράφουσιν. οὕτως, ἔφη, γιγνέσθω, ὁ Ἀρι-
σταίνετος, εἴ σοι ἥδιον. καὶ τὸ ἀπὸ τούτου περιιὼν ἐν
κύκλῳ ὁ Ἀλκιδάμας ἐδείπνει, ὥσπερ οἱ Σκύθαι πρὸς
τὴν ἀφθονωτέραν νομὴν μετεξανιστάμενος καὶ τοῖς
περιφέρουσι τὰ ὄψα συμπερινοστῶν. 14. καὶ μέντοι καὶ
σιτούμενος ἐνεργὸς ἦν ἀρετῆς πέρι καὶ κακίας μεταξὺ
διεξιὼν καὶ ἐς τὸν χρυσὸν καὶ τὸν ἄργυρον ἀποσκώπτων.
ἠρώτα γοῦν τὸν Ἀρισταίνετον, τί βούλονται αὐτῷ αἱ
τοσαῦται καὶ τηλικαῦται κύλικες, τῶν κεραμεῶν ἴσον
δυναμένων. ἀλλ' ἐκεῖνον μὲν ἤδη ἐνοχλοῦντα ἔπαυσεν
ἐς τὸ παρὸν Ἀρισταίνετος * τῷ παιδὶ διανεύσας εὐμε- 428
γέθη σκύφον ἀναδοῦναι αὐτῷ, ζωρότερον ἐγχέαντα· καὶ

μοιμι Ω et v. γάμοιμι D. γαμοῖμι pr Λ (qui modo δειπνίσαιμι). om κάμοιμι A. χαμαὶ τὸν τρίβωνα AΛ. χαμαὶ καὶ τὸν τρίβωνα Ω et v. ὑποβαλόμενος Jacobitius. libri ὑποβαλλόμενος. ὑπ' ἀγκ. Λ. γινέσθω Λ. τοαποτούτου A. περιϊὼν ἐν κύκλω AΛ. ἐν κύκλῳ περιιὼν Ω et v. ἀφθονωτέραν ΛAΩabc. ἀφθονοτέραν v. μεταξανιστάμενος A.

14. καὶ τὸν] καὶ ἐς τὸν A. κεραμεῶν] κεραμέων A. ἴσον] ἶσον A (ita A). ἴσων D. ἴσα Ω et v. vide Aristophanem ap. Clement. Alex. Stromat. VI p. 749 et Euripidem in Andromach. v. 662. quanquam Luciannns alibi pluralem habet, Philopseud. § 40. confer etiam D. D. I, 2. ἤδη ἐνοχλοῦντα] ita conjeci. ἤδη διενοχλοῦντα ΩΛ et v, sed διενοχλοῦντα (sine ἤδη) A. Lucianus verbum ἐνοχλεῖν frequentat, habet etiam παρενοχλεῖν (velut in Hermotim. § 71 fin.), sed διενοχλεῖν habet nusquam. neqne dnbito, quin alibi pro menda vulgatae διοχλεῖν non διενοχλεῖν potius restituendum fuerit, quam ἐνοχλεῖν. τὸ παρὸν] τοπαρὸν A. τῷ παιδὶ νεύσας vulgo. τῷ παιδὶ δὲ νεύσας Ω. τῷ παιδὶ νεύσας (punctum a pr m, item in marg) A. his indiciis restitui: τῷ παιδὶ διανεύσας, cui favet etiam menda διενοχλοῦντα. sed punctnm voci superimpositum, qnod A codex sae-

ἐδόκει ἄριστα ἐπινενοηκέναι, οὐκ εἰδὼς ὅσων κακῶν ἀρχὴν ὁ σκύφος ἐκεῖνος ἐνεδεδώκει. λαβὼν δὲ ἅμα ὁ Ἀλκιδάμας ἐσίγησε μικρὸν καὶ ἐς τοὔδαφος καταβαλὼν ἑαυτὸν ἔκειτο ἡμίγυμνος, ὥσπερ ἠπειλήκει, πήξας τὸν ἀγκῶνα ὀρθὸν, ἔχων ἅμα τὸν σκύφον ἐν τῇ δεξιᾷ, οἷος ὁ παρὰ τῷ Φόλῳ Ἡρακλῆς ὑπὸ τῶν γραφέων δείκνυται. 15. ἤδη δὲ καὶ ἐς τοὺς ἄλλους συνεχῶς περιεσοβεῖτο ἡ κύλιξ καὶ φιλοτησίαι καὶ ὁμιλίαι, καὶ φῶτα εἰσεκεκόμιστο. ἐν τοσούτῳ δ' ἐγὼ τὸν παρεστῶτα τῷ Κλεοδήμῳ οἰνοχόον, παῖδα ὄντα ὡραῖον, ἰδὼν ὑπομειδιῶντα (χρὴ γὰρ οἶμαι καὶ ὅσα πάρεργα τῆς ἑστιάσεως εἰπεῖν, καὶ μάλιστα εἴ τι πρὸς τὸ γλαφυρώτερον ἐπράχθη) μάλα ἤδη παρεφύλαττον, ὅ τι καὶ μειδιάσειε. καὶ μετὰ μικρὸν ὁ μὲν προσῆλθεν ὡς ἀποληψόμενος παρὰ τοῦ Κλεοδήμου τὴν φιάλην· ὁ δὲ τόν τε δάκτυλον ἀπέ-

---

penumero habet, Jacobitius tantum non ubique neglexit: quo signo corruptionem quoque indicari tirones docuit Bastius ad Gregor. Cor. p. 855. *ἀναδοῦναι* DAVΔX. *δοῦναι* Ω et v. *ζωρότερον ἐγχέαντα* om Δ, qui mox pr m *φίλῳ* pro *φόλῳ*. *παρὰ τῷ Φόλῳ*] *παρὰ τῷ λοφω* Ω. idem error *λόφῳ* pro *Φόλῳ* est in codd. Pausaniae III, 18, 7. apte autem Hemsterhusius Aristidem contulit I p. 63 Jepp. (I p. 61 ed. Dind.): *κἂν ταῖς εὐθυμίαις τοῦ βίου πολλοῦ τινος ἄξιος* (sc. *ὁ Ἡρακλῆς ἐστιν*). *δηλοῖ δὲ τῶν ἀγαλμάτων αὐτοῦ τὰ πίνοντα.* picturam, de qua una Lucianus agit, ne Aristidis quidem verbum *τῶν ἀγαλμάτων* excludit, uti Hermannus in Opusc. V p. 208 sq. et alii docuerunt. *ὑπὸ*] *ἀπὸ* D.

15. *ἤδη δὲ καὶ ἐς* Ω et v. *ἤδη δὲ ἐς* A. *περιεσοβεῖτο* DAΩ lemma scholii vulgati et v cum parte codicum Thomae p. 45, 11. *ἐπεσοβεῖτο* Δ (in textu et scholio) et X. hinc sumsit Alciphro Epp. III, 55, ubi (p. 409) vide Berglerum. *ἐσκεκόμιστο* D. *οἰνοχόον παῖδα ὄντα ὡραῖον,*] ita transposui. libri *παῖδα οἰνοχόον ὄντα ὡραῖον.* *ὡραῖον ἰδὼν* AΩ et v. *καὶ* (?) *ὡραῖον εἶδον* Δ. *γλαφυρώτερον* DAΔ scholiasta. *γλαφυρώτατον* Ω et v. illud tuitus sum in Quaestt. p. 182 collato Eunucho § 7: *πρὸς τὸ γελοιότερον.* *μάλα ἤδη*] *μάλα ἡδὺ* A. malim *μάλα δή.* *ὅ τι*] *ὅτι* A et v. scholiasta in cod. Paris. (Bachm. Anecd. II p. 322, 8): *τὸ ὅτι, ἔν τισιν εὑρισκόμενον* — pro *ὅτι καὶ* praeterea legisse videtur sive *τί καὶ* — sive errore e vicinia orto: *εἴ τι καὶ* —. *μεταμικρὸν* A. *ἀποληψόμενος* AΔ et v. *μεταληψόμενος* MΩ.

θλιψεν αὐτοῦ καὶ * δραχμὰς δύο οἶμαι συνανέδωκε 429
μετὰ τῆς φιάλης· ὁ παῖς δὲ πρὸς μὲν τὸν δάκτυλον θλιβόμενον αὖθις ἐμειδίασεν, οὐ μὴν συνεῖδεν οἶμαι τὸ νόμισμα, ὥστε μὴ δεξαμένου ψόφον αἱ δύο δραχμαὶ παρέσχον ἐκπεσοῦσαι, καὶ ἠρυθρίασαν ἄμφω μάλα σαφῶς. ἠπόρουν δὲ οἱ πλησίον, οὗ τινος εἴη τὰ νομίσματα, τοῦ μὲν παιδὸς ἀρνουμένου μὴ ἀποβεβληκέναι, τοῦ δὲ Κλεοδήμου, καθ᾽ ὃν ὁ ψόφος ἐγένετο, μὴ προσποιουμένου τὴν ἀπόρριψιν. ἠμελήθη δ᾽ οὖν καὶ παρώφθη τοῦτο οὐ πάνυ πολλῶν ἰδόντων, πλὴν μόνου, ὡς ἐμοὶ ἔδοξε, τοῦ Ἀρισταινέτου· μετέστησε γὰρ τὸν παῖδα μικρὸν ὕστερον ἀφανῶς ὑπεξαγαγών, καὶ τῷ Κλεοδήμῳ τινὰ παραστῆναι διένευσε τῶν ἐξώρων ἤδη καὶ καρτερῶν, ὀρεωκόμον τινὰ ἢ ἱπποκόμον. καὶ τοῦτο μὲν ὧδέ πως ἐκεχωρήκει, μεγάλης ἂν αἰσχύνης αἴτιον τῷ Κλεοδήμῳ γενόμενον, εἰ ἔφθη διαφοιτῆσαν εἰς ἅπαντας, ἀλλὰ μὴ κατέσβη αὐτίκα, δεξιῶς πάνυ τοῦ Ἀρισταινέτου τὴν παροινίαν ἐνέγκαντος. * 16. ὁ Κυ- 430
νικὸς δὲ Ἀλκιδάμας, ἐπεπώκει γὰρ ἤδη, πυθόμενος

φιάλην] διάφην A. συνανέδωκε AΩΛ et v. συνέδωκε D. θλιβόμενον] θλιβόμενος D. συνεῖδεν AΩΛ cum Jacobsio ad Porsoni Advers. p. 304. συνοῖδεν (sic) v. οἶμαι] id ipsum modo bis antecessit, neque mutare superiora licet: hic vero non prorsus necessarium est. quo deleto scripserim: οὐ μὴν συνεῖδε τὸ νόμισμα (sive τὰ νομίσματα). τὸ νόμισμα AΩΛ et v, pro quo V fortasse legit τά νομίσματα, quae lectio huc potius spectat quam ad inferiora post ἀποβεβληκέναι. δραχμαὶ παρέχον et antea δραχμὰς Λ. ἐκπεσοῦσαι] ἐμπεσοῦσαι A. ἐγένετο μὴ Λ. δ᾽ οὖν ΩΛ et v. οὖν A, male. ὀρεωκόμον — ἱπποκόμον] ὀρεωκόμων — ἱπποκόμων D. libri μεγάλης αἰσχύνης αἴτιον. Schaefer in Mel. Cr. p. 49 ἂν bene restitutum male collocavit: μεγάλης αἰσχύνης αἴτιον ἄν —. recte vero Bekker: μεγάλης ἂν αἰσχύνης αἴτιον. eandem sedem ἄν participio junctum obtinet De Merc. Cond. § 33 fin. et in Hercule § 3. διαφοιτῆσαι et mox μὴν (pro μὴ) n. εἰς] ἐς Λ. ἅπαντας] πάντας A. κατέσβη] sermo est de παροινίᾳ. hoc videri potest sumtum esse e Xenoph. Sympos. VI, 10: αὕτη μὲν δὴ ἡ παροινία οὕτω κατεσβέσθη.

16. ἀγχιδάμας (ἀλκιδάμας mg sec.) Λ. ἐπεπώκει] ἐπεπτώκει D. ἐκαλεῖτο A. ἐκαλοῖτο (sic) Λ. καλοῖτο Ω et v. utrum-

ἥτις ἡ γαμουμένη παῖς ἐκαλεῖτο, σιωπὴν παραγγείλας
μεγάλῃ τῇ φωνῇ, ἀποβλέψας ἐς τὰς γυναῖκας, προπίνω
σοι, ἔφη, ὦ Κλεανθί, Ἡρακλέους ἀρχηγέτου. ὡς δ'
ἐγέλασαν ἐπὶ τούτῳ ἅπαντες, ἐγελάσατε, εἶπεν, ὦ κα-
θάρματα, εἰ τῇ νύμφῃ προὔπιον τοῦ ἡμετέρου θεοῦ
τοῦ Ἡρακλέους; καὶ μὴν εὖ εἰδέναι χρή, ὡς ἢν μὴ
λάβῃ παρ' ἐμοῦ τὸν σκύφον, οὔποτε τοιοῦτος ἂν υἱὸς
αὐτῇ γένοιτο οἷος ἐγώ, ἄτρεπτος μὲν ἀλκήν, ἐλεύθερος
δὲ τὴν γνώμην, τὸ σῶμα δὲ οὕτω καρτερός· καὶ ἅμα
παρεγύμνου ἑαυτὸν μᾶλλον ἄχρι πρὸς τὸ αἴσχιστον.
αὖθις ἐπὶ τούτοις ἐγέλασαν οἱ συμπόται· καὶ ὃς ἀγα-
νακτήσας ἐπανίστατο δριμὺ καὶ παράφορον βλέπων καὶ
δῆλος ἦν οὐκέτι εἰρήνην ἄξων. τάχα δ' ἄν τινος καθί-
κετο τῇ βακτηρίᾳ, εἰ μὴ κατὰ καιρὸν εἰσεκεκόμιστο
πλακοῦς εὐμεγέθης, πρὸς ὃν ἀποβλέψας ἡμερώτερος
ἐγένετο καὶ ἔληξε τοῦ θυμοῦ καὶ ἐνεφορεῖτο συμπεριιών.
431 17. καὶ οἱ πλεῖστοι ἐμέθυον ἤδη καὶ βοῆς μεστὸν *
ἦν τὸ συμπόσιον. ὁ μὲν γὰρ Διονυσόδωρος ὁ ῥήτωρ....

---

que novit schol: παῖς ἐκαλεῖτο] γράφεται καὶ κ α λ ε ῖ τ ο (sic). ἐς τὰς Λ. εἰς τὰς ΑΩ et v. δὲ ἐγέλασαν A. προὔπιον ΑΩΛa. προὔπινον v. τοῦ ἡμετέρου θεοῦ Cobetus V. L. p. 212. ἐπὶ τοῦ ἡμετέρου θεοῦ ΑΩΛ et v. ἀπὸ τοῦ ἡμετέρου θεοῦ D. de syntaxi recte judicat schol. et vulgatus et Parisinus ap. Bachm. Anecd. II p. 322, 11: δεῖ γὰρ λέγειν, inquit, — προπίνω σοι Μαρίας τῆς θεοτόκου. sed hic sobrii critici jure mirantur pientissimorum monachorum vinolentiam. ἢν μὴ λάβῃ ΑΩΛ et v. εἰ μὲν λάβοι D, hoc est, ut bene Lehmannus: εἰ μὴ λάβοι. υἱὸς αὐτῇ] αὐτῇ υἱὸς Λ. ἄτρεπτος ΑΩΛ et v. ἄτρεστος D male. utrumque habet Lucianus. sed illud idem fere est quod ἀδιάτρεπτος, virtus ipsa (i. e. firmitas ac summum animi robur) dicitur ἀδιατρεψία ap. Suetonium in Calig. c. 29. adde Bentlejana ad Horat. Carm. I, 3, 18. εἰσεκεκόμιστο] ἐσκεκόμιστο D. συμπεριιὼν] συμπεριὼν Ω forma attica, quam Lucianus tamen ex Aristophane suo non adsumsit.

17. βοῆς om Ω. διονυσίδωρος A et deinceps οἰκετῶν et ἱστιαῖος. ὁ ῥήτωρ αὐτοῦ v. sed ὁ ῥήτωρ | αὐτοῦ A cum linea quae omissionem sive defectum indicat (non prorsus recte Bastius ad Gregor. Cor. p. 116 et p. 786). hinc post ὁ ῥήτωρ signa posui lacunae. suppleo dubitanter: ὁ ῥήτωρ [καὶ ὁ μαθητὴς] αὐτοῦ,

αὐτοῦ ῥήσεις τινὰς ἐν μέρει διεξῄει καὶ ἐπῃνεῖτο ὑπὸ τῶν κατόπιν ἐφεστώτων οἰκετῶν· ὁ δὲ Ἱστιαῖος ὁ γραμματικὸς ἐρραψῴδει ὕστερος κατακείμενος, καὶ συνέφερεν ἐς τὸ αὐτὸ τὰ Πινδάρου καὶ Ἡσιόδου καὶ Ἀνακρέοντος, ὡς ἐξ ἁπάντων μίαν ᾠδὴν παγγέλοιον ἀποτελεῖσθαι, μάλιστα δ' ἐκεῖνα ὥσπερ προμαντευόμενος τὰ μέλλοντα,

σὺν δ' ἔβαλον ῥινούς

καί,

ἔνθα δ' ἄμ' οἰμωγή τε καὶ εὐχωλὴ πέλεν ἀνδρῶν.

ὁ Ζηνόθεμις δ' ἀνεγίγνωσκε παρὰ τοῦ παιδὸς λαβὼν λεπτόγραμμόν τι βιβλίον. 18. *διαλιπόντων δὲ ὀλίγον, ὥσπερ εἰώθασι, τῶν παρακομιζόντων τὰ ὄψα, μηχανώμενος Ἀρισταίνετος μηδ' ἐκεῖνον ἀτερπῆ τὸν καιρὸν εἶναι μηδὲ κενὸν ἐκέλευσε τὸν γελωτοποιὸν εἰσελθόντα εἰπεῖν τι ἢ πρᾶξαι γελοῖον, ὡς ἔτι μᾶλλον οἱ συμπόται διαχυθεῖεν. καὶ παρῆλθεν ἄμορφός τις ἐξυρημένος τὴν κεφαλήν, ὀλίγας ἐπὶ τῇ κορυφῇ τρίχας ὀρθὰς ἔχων·*

---

ita ut rhetor ebrius plures orationes per vices recitarit, aliam e sua ipsius persona, aliam quasi in schola e persona discipuli. ita demum recte habent et *αὐτοῦ* et *ἐν μέρει*, quae nunc juxta sunt inepta. illud autem *ἐν μέρει* cave mutes: vide Quaestt. L. p. 42, ubi partim rejeci Solani conjecturas: *αὐτοῦ ῥήσεις τινὰς ἐν μέλει διεξῄει.* *ἐρραψῴδει*] hoc verbo Homerum satis indicatum esse Solanus recte statuit refutato scholiasta, qui et ipse legerat *ἐς τὸ αὐτό.* nam *ἐς τὸ αὐτὸ* [*τοῖς Ὁμήρου*] poterat scribi, non debebat. *ἐς τὸ αὐτὸ*] *εἰς αὐτὸ* A. *δ' ἐκεῖνα*] *δὲ ἐκεῖνα* A. *σὺν δ'* libri omnes et scholiasta, pro quo scribe *σὺν ῥ'* ex ipso Homero Jl. δ', 447: *σὺν ῥ' ἔβαλον ῥινοὺς σὺν δ' ἔγχεα —.* *ἔνθα δ' ἄμ'*] ita correxi ex Homero Jl. δ', 450. *ἔνθ' ἄρ'* A. *ἔνθα δ' ἄρ'* ΩΔ et v. *ἀνεγίγνωσκε* Reitziana. *ἀνεγίνωσκε* libri (AΩΔM) et edd. ante Reitzium.

18. *μηχανομενος* (ώ supra ο) et statim *μηδὲ* Δ. *μηδὲ κενὸν* Δ et v. *μὴ δὲ καινὸν*, (ε supra recens) A; haec om (sed cum lacuna) Ω. malim: *μηδὲ διάκενον* (i. e. ‚neque prorsus vacuum'). *διάκενος* adjectivum noster habet saepius. *εἰσελθόντα* D et (?) Ω. *εἰσελθόντα γε* AΔ et v. *ἄμορφός τις*] suppleo fidenter: *ἄμορφός τις* [*ἀνθρωπίσκος*], ut hic ipse infra dicitur § 19 fin. et alius scurra De Merc. Cond. § 27. *ὀλίγας*] *ὀλήγας* A. *κορυφῇ* Δ.

432 οὗτος ὠρχήσατό τε * κατακλῶν ἑαυτὸν καὶ διαστρέφων, ὡς γελοιότερος φανείη, καὶ ἀνάπαιστα συγκροτῶν διεξῆλθεν αἰγυπτιάζων τῇ φωνῇ, καὶ τέλος ἐπέσκωπτεν ἐς τοὺς παρόντας. 19. οἱ μὲν οὖν ἄλλοι ἐγέλων ὁπότε σκωφθεῖεν, ἐπεὶ δὲ καὶ εἰς τὸν Ἀλκιδάμαντα ὅμοιόν τι ἀπέρριψε, Μελιταῖον κυνίδιον προσειπὼν αὐτὸν, ἀγανακτήσας ἐκεῖνος, (καὶ πάλαι δὲ δῆλος ἦν φθονῶν αὐτῷ εὐδοκιμοῦντι καὶ κατέχοντι τὸ συμπόσιον) ἀπορρίψας τὸν τρίβωνα προὐκαλεῖτό οἱ παγκρατιάζειν, εἰ δὲ μὴ, κατοίσειν αὐτοῦ ἔφη τὴν βακτηρίαν. οὕτω δὴ ὁ κακοδαίμων Σατυρίων (τοῦτο γὰρ ὁ γελωτοποιὸς ἐκαλεῖτο) συστὰς ἐπαγκρατίαζεν. καὶ τὸ πρᾶγμα ὑπερήδιστον ἦν, φιλόσοφος ἀνὴρ γελωτοποιῷ ἀνταιρόμενος καὶ

κεφαλῇ ΑΩ et v. ἔχων ΑΩ𝒜 et v. φέρων D (ita D). ἀνάπαιστα συγκροτῶν διεξῆλθεν] non anapaestos, sed molle versuum genus Sotadeos in convivio scurra recitat loco gemello De Merc. Cond. § 27: κίναιδός τις ἢ ὀρχηστοδιδάσκαλος ἢ Ἰωνικὰ ξυνείρων Ἀλεξανδρειωτικὸς ἀνθρωπίσκος, ubi fugit interpretes v. Ἰωνικὰ ipsos significare Sotadeos. item cinaedus recitat Sotadeos ap. Petronium 23: ‚intrat cinaedus — qui ut infractis manibus congemuit (sic), ejusmodi carmina effudit', ubi O. Jahnii conjecturae ‚concrepuit' favet participium hic interpositum συγκροτῶν. adde illud Suetoni in Nerone c. 42: ‚jocularia — carmina — etiam gesticulatus est'. ἐπέσκωπτεν ἐς Ω et v. ἐπέσκωπτεν εἰς A. ἐπέσκωπτε (om ἐς) 𝒜.

19. ἐπεὶ δὲ καὶ εἰς] καὶ om A. ὅμοιόν τι Ω𝒜 et v. ὅμοιόν
λ
τινα A mero errore. cave scribas ὅμοιά τινα. δῆλος] δῆχος (λ supra recens) A. φθονῶν] ὁ φθονῶν A. εὐδοκιμοῦντι] εὐδαιμονοῦντι D. ὁ κακοδαίμων Σατυρίων 𝒜Ω et v. ὁ κακοδαίμων ὁ σατυρίων DA. τοῦτο γὰρ 𝒜Ω et v. οὕτω γὰρ A et codex ap. Boissonad. ad Philostr. Her. p. 307. malae scripturae ὁ σατυρίων et οὕτω γάρ indicare videntur fuisse olim, qui v. κακοδαίμων male ita transponerent: οὕτω δὴ ὁ Σατυρίων· τοῦτο γὰρ ὁ κακοδαίμων γελωτοποιὸς ἐκαλεῖτο. Σατυρίων — ἐκαλεῖτο] in adumbratione hujus ipsius loci ap. Alciphr. Ep. III, 55 fin: μῖμοι γελοίων οἱ περὶ Σαννυρίωνα (ita partim libri partim σαννουρίωνα) καὶ Φιλιστιάδην cave criticos sequare, qui loco movebant nomen notissimum Σαννυρίων. quumque Alciphro nomina Luciani mutare soleat, haudquaquam conjicere licet aut h. l. Σαννυρίων ex Alciphrone, aut hinc in Alciphrone: οἱ περὶ Σατυρίωνα.

παίων καὶ παιόμενος ἐν τῷ μέρει. οἱ παρόντες δὲ οἱ
μὲν ἥδοῦντο, οἱ δὲ ἐγέλων, ἄχρι ἀπηγόρευσεν ὁ Ἀλκι-
δάμας ὑπὸ συγκεκροτημένου ἀνθρωπίσκου καταγωνισθείς.
γέλως οὖν πολὺς ἐξεχύθη ἐπ' αὐτοῖς. 20. ἐνταῦθα
Διόνικος ἐπεισῆλθεν ὁ ἰατρὸς οὐ πολὺ κατόπιν τοῦ
ἀγῶνος. ἐβεβραδύκει * δέ, ὡς ἔφασκε, φρενίτιδι ἑαλω- 433
κότα θεραπεύων Πολυπρέποντα τὸν αὐλητήν· καί τι
καὶ γελοῖον διηγήσατο. ἔφη μὲν γὰρ εἰσελθεῖν παρ'
αὐτὸν οὐκ εἰδὼς ἐχόμενον ἤδη τῷ πάθει, τὸν δὲ ταχέως
ἀναστάντα ἐπικλεῖσαί τε τὴν θύραν καὶ ξιφίδιον σπα-
σάμενον ἀναδόντα αὐτῷ τοὺς αὐλοὺς κελεύειν αὐλεῖν·
εἶτα ἐπεὶ μὴ δύναιτο, παίειν σκῦτος ἔχοντα ἐς ὑπτίας
τὰς χεῖρας. τέλος οὖν ἐν τοσούτῳ κινδύνῳ ἐπινοῆσαι
τοιόνδε· ἐς ἀγῶνα γὰρ προκαλέσασθαι αὐτὸν ἐπὶ ῥητῷ
πληγῶν ἀριθμῷ· καὶ πρῶτον μὲν αὐτὸς αὐλῆσαι πονή-
ρως, μετὰ δὲ τοὺς αὐλοὺς ἐκεῖνον δέξασθαι παρ' αὐτοῦ,
παραδόντα τὸ σκῦτος καὶ τὸ ξιφίδιον, καὶ ἓ ἀπορρῖψαι

---

nam hujus quoque nominis *Σατυρίων* alia exstant testimonia, ut ap. Marc. Antonin. X, 31 (ubi bene Gataker *Σατυρίωνα* pro *Σατύρωνα*) et in Plauti Persa, ubi inter fabulae personas est ‚Saturio parasitus', h. e. *Σατυρίων*. *ἐπαγκρατίαζεν* Ωa. *ἐπαγκρατίαζε* AΛ et v. *ἀνταιρόμενος*] *ἀντερόμενος* A. *ἄχρι* ΛΩ et v. *ἄχρις* AV. *ἀπηγόρευσεν ὁ Ἀλκιδάμας* A. *ἀπηγόρευσε παιόμενος ὁ Ἀλκιδάμας* ΛΩ et v. istud *παιόμενος* ut e superioribus male repetitum cum Bekkero delevi. *καταγνωσθεὶς* (mg sc *καταγωνισθεὶς*) Λ.

20. *οὐ πολὺ — ἀγῶνος*] confer § 1: *ὀψὲ — πρὸ τῶν τραυμάτων*. *ἑαλοκότα* a. *τὴν αὐλητὴν* (o supra recens) A. *καί τι καὶ*] *καίτοι καὶ* AΛ. *καί τι* g. *σπασάμενον* om Ω. *σκῦτος* et deinceps *τὸ σκῦτος* Lehmannus. libri *σκύτος* et *τὸ σκύτος*.

ἔχοντα] *ἔχοντος* A. *αὐτὸν αὐλ.* (sed *ν* in ras.) Λ. post *πονήρως* libri sic: *μετὰ δὲ παραδόντα* (*παρενδόντα* Λ) *τοὺς αὐλοὺς ἐκείνῳ* (*ἐκείνων* A) *δέξασθαι παρ' αὐτοῦ τὸ σκύτος —*. quod nunc soloecum est *παραδόντα* cave mutes cum Bekkero in *παραδούς*. immo non mutandum est *παραδόντα* sed ante verba *τὸ σκῦτος* transponendum atque etiam pro *ἐκείνῳ* (*ἐκείνων* A) corrigendum *ἐκεῖνον*. ita igitur rescripsi: *μετὰ δὲ τοὺς αὐλοὺς ἐκεῖνον δέξασθαι παρ' αὐτοῦ, παραδόντα τὸ σκῦτος —*. quo facto et accusativus *παραδόντα* ut ad Polyprepontem referendus bene

τάχιστα διὰ τῆς φωταγωγοῦ ἐς τὸ ὕπαιθρον τῆς αὐλῆς·
καὶ τὸ ἀπὸ τούτου ἀσφαλέστερον ἤδη προσπαλαίων
αὐτῷ ἐπικαλεῖσθαι τοὺς γειτνιῶντας, ὑφ' ὧν ἀνασπα-
σάντων τὸ θύριον σωθῆναι αὐτός. ἐδείκνυ δὲ καὶ ση-
μεῖα τῶν πληγῶν καὶ ἀμυχάς τινας ἐπὶ τοῦ προσώπου.
καὶ ὁ μὲν Διόνικος οὐ μεῖον εὐδοκιμήσας τοῦ γελωτο-
ποιοῦ ἐπὶ τῇ διηγήσει, πλησίον τοῦ Ἰστιαίου παρα-
βύσας ἑαυτὸν, ἐδείπνει ὅσα λοιπὰ, οὐκ ἄνευ θεοῦ τινος
434 ἡμῖν ἐπιπαρών, * ἀλλὰ καὶ πάνυ χρήσιμος τοῖς μετὰ
ταῦτα γεγενημένος. 21. παρελθὼν γὰρ εἰς τὸ μέσον
οἰκέτης παρ' Ἑτοιμοκλέους τοῦ Στωϊκοῦ ἥκειν λέγων
γραμματίδιον ἔχων, κελεῦσαί οἱ ἔφη τὸν δεσπότην ἐν
τῷ κοινῷ ἀναγνόντα εἰς ἐπήκοον ἅπασιν, ὀπίσω αὖθις
ἀπαλλάττεσθαι. ἐφέντος οὖν τοῦ Ἀρισταινέτου προσελ-

---

habet et optime tibicines duo inter se opponuntur pronominibus *αὐτός — ἐκεῖνον*, ut ap. Thucydid. IV, 28, IV, 98, VI, 64 et alibi saepe. post *τὸ ξιφίδιον* (*ξιφείδιον* Δ) libri sic: *ἐπιρρίψαι* D et v et (cum rasura in ε) Ω. *ἀπορρίψαι* V (cum Graevio). *καὶ ἐπερρίψαι* (addito *καὶ*) A. *καὶ ἐπιρρίψαι* Δ. non sufficit hic *καὶ ἀπορρῖψαι*, sed opus est novo etiam subjecto. itaque codicum indicio correxi: *καὶ ἓ ἀπορρῖψαι*. ita De Morte Peregr. § 44 Cobetus (in V. L. p. 107) scribi voluit: *ἓ δὲ μὴ δοῦναι*. plane vero necessaria emendatio Hermanni est in Plat. Sympos. p. 223, D: *τὸν οὖν Σωκράτη κατακοιμήσαντα ἐκείνους ἀναστάντα ἀπιέναι, καὶ ἓ ὥσπερ* (codd. antiqui *καὶ ὥσπερ*) *εἰώθει ἕπεσθαι* —.
τὸ ἀπὸ τοῦ Δ. *τοαποτούτου* et mox *μεταταῦτα* A. *ἀσφαλέστερον* Δ et v. *ἀσφαλέστερος* DAΩ, ut possis: *ἀσφαλεστέρως*.
θύριον ΔΩa cum Graevio. *θυρίον* DAU. *θηρίον* Vbcd et multae edd. ante Graevium. *σωθῆναι αὐτὸς* Bekker. libri *σωθῆναι αὐτόν*, pro quo scribere non licet: *σωθῆναι αὐτόν*. *ἐδείκνυ* A. *ἐδείκνυε* ΔΩ et v. *γελοτοποιοῦ* a. *Ἰστιαίου*] *ἰστιαίου* AΔ (ε superscr.). *αὐτὸν* Δ. *γεγενημένος* ΔΩa et v. *γεγενημένοις* DA (ita A).

21. *γὰρ εἰς* A. *γάρ τις ἐς* (*εἰς* Ω) ΔΩ et v. *τοῦ Στωϊκοῦ ἥκειν λέγων* A. *ἥκειν λέγων τοῦ Στωϊκοῦ* v. sed *τοῦ Στωϊκοῦ* om Δ. etiam Ω in textu om *τοῦ Στωϊκοῦ* et in γρ. adscriptam habet vulgatam. ceterum notius est nomen *Ἐτυμοκλῆς*, sed *Ἑτοιμοκλῆς* libri et ap. Lucianum et Pausaniam III, 13, 7. simili autem nomine est *Τιμοκλῆς* et ipse Stoicus in Jov. Trag. § 4 sqq.

θὼν πρὸς τὸν λύχνον, ἀνεγίγνωσκεν. ΦΙΛ. ἦπου, ὦ Λυκῖνε, τῆς νύμφης ἐγκώμιον ἢ ἐπιθαλάμιον, οἷα πολλὰ ποιοῦσιν; ΛΥΚ. ἀμέλει καὶ ἡμεῖς τοιοῦτόν τι ᾠήθημεν, ἀλλ' οὐδ' ἐγγὺς ἦν τούτου· ἐνεγέγραπτο γάρ·
22. ΕΤΟΙΜΟΚΛΗΣ ΦΙΛΟΣΟΦΟΣ ΑΡΙΣΤΑΙΝΕΤΩι. ὅπως μὲν ἔχω πρὸς δεῖπνα, ὁ παρεληλυθώς μου βίος ἅπας μαρτύριον ἂν γένοιτο· ὅς γε ὁσημέραι πολλῶν ἐνοχλούντων παρὰ πολὺ σοῦ πλουσιωτέρων ὅμως οὐδὲ πώποτε φέρων ἐμαυτὸν ἐπέδωκα, εἰδὼς τοὺς ἐν τοῖς συμποσίοις θορύβους καὶ παροινίας. ἐπὶ σοῦ δὲ μόνου εἰκότως ἀγανακτῆσαί μοι δοκῶ, ὃς τοσοῦτον χρόνον ὑπ' ἐμοῦ λιπαρῶς τεθεραπευμένος οὐκ ἠξίωσας ἐναριθμῆσαι * κἀμὲ τοῖς ἄλλοις φίλοις, ἀλλὰ μόνος 435
ἐγώ σοι ἄμοιρος, καὶ ταῦτα ἐν γειτόνων οἰκῶν. ἀνιῶμαι οὖν ἐπὶ σοὶ τὸ πλέον οὕτως ἀχαρίστῳ φανέντι· ἐμοὶ γὰρ ἡ εὐδαιμονία οὐκ ἐν ὑὸς ἀγρίου μοίρᾳ ἢ λαγωοῦ ἢ πλακοῦντος, ὧν παρ' ἄλλοις ἄφθονος ἡ ἀπόλαυσις

---

et quaeri potest, num sit idem. vide nos infra ad § 30. tum qui in Timone § 54 est *Θρασυκλῆς* philosophus, item videtur Stoicus fuisse. denique nostri loci Stoicus bis exstat ap. Alciphr. Ep. III, 55, primum § 2, ubi unus codex *ἑτοιμοκλῆς*, caeteri libri *εὐοκλῆς* et ibid. § 7, ubi plerique libri item *εὐοκλῆς*, unus autem *νεοκλῆς*. et in Alciphrone quidem *Εὐκλῆς* cum Valckenario videtur scribendum esse. *γραμματίδιον* ΑΩΛ. *γραμματίδιόν τι* v.
ἔφη om Λ qui mox *ἐς*. *ἐπήκοον*] *ἐπήκουον* D. *ἐφέντος*] *ἀφέντος* Ω. *ἀφέντος* (*ἐ* supra *α* pr m) A (ita A). *ἐφέντος* (*α* sec) Λ. *ἀνεγίγνωσκεν* edd. ante Schmiederum. *ἀνεγίνωσκεν* DΑΩΛ.
ἦπου ΑΩΛ et v. *ἤ που* a. *τοιοῦτόν τι* edd. vett. *τοιοῦτό τι* DΛ. *τοιοῦτον* ΑΩ.
22. *μου*] *μοι* ΑΛ et fortassis Ω. *παραπολὺ* et mox *τοπλέον* A. *οὐδὲ πώποτε* ΑΩΛ et v. *οὐδέποτε* D. *ἐν τοῖς συμποσίοις* conjeci. libri *ἐπὶ τοῖς συμποσίοις*. *ὑπ' ἐμοῦ χρόνον* Λ. *λιπαρῶς* om Ωa. *μόνος*] *μόνον* Aa, *μόνου* Ω, quod natum e superiore: *ἐπὶ σοῦ δὲ μόνου* —. *ἐν γειτόνων* A et v. *ἐγγειτόνων* (*ὸ*) D. *ἐκ γειτόνων* ΛΩ. *σοὶ τω* Λ. *λαγωοῦ*] *λαγῶν* A. *πλακοῦντος* ΛΩ. *πλακούντων* DA et v. post *πλακούντων* edd. et codd. omnes (diserte ΛDΑΩ) *ἃ παρ' ἄλλοις ἀφθόνως ἀπολαύω*, vitiose ut jam Solanus, Schmieder et Lehmannus senserunt. cor-

τὰ καθήκοντα εἰδόσιν. ἐπεὶ καὶ τήμερον παρὰ τῷ μαθητῇ Παμμένει δειπνῆσαι πολυτελὲς, ὥς φασι, δεῖπνον δυνάμενος οὐκ ἐπένευσα ἱκετεύοντι, σοὶ ὁ ἀνόητος ἐμαυτὸν φυλάττων. 23. *σὺ δὲ ἡμᾶς παραλιπὼν ἄλλους εὐωχεῖς. εἰκότως· οὔπω γὰρ δύνασαι διακρίνειν τὸ βέλτιον οὐδὲ τὴν καταληπτικὴν φαντασίαν ἔχεις. ἀλλὰ οἶδα ὅθεν μοι ταῦτα, παρὰ τῶν θαυμαστῶν σου φιλοσόφων, Ζηνοθέμιδος καὶ Λαβυρίνθου, ὧν (ἀπείη δὲ ἡ Ἀδράστεια) συλλογισμῷ ἑνὶ ἀποφράξαι ἄν μοι τάχιστα δοκῶ τὰ στόματα. ἢ εἰπάτω τις αὐτῶν, τί ἐστι φιλοσοφία; ἢ τὰ πρῶτα ταῦτα, τί διαφέρει σχέσις ἕξεως; ἵνα μὴ τῶν ἀπόρων εἴπω τι, κερατίναν ἢ σωρίτην ἢ θερίζοντα λόγον. ἀλλὰ οὐ μὲν ὄναιο αὐτῶν, ἐγὼ δὲ ὡς*
436 *ἂν μόνον τὸ καλὸν ἀγαθὸν * ἡγούμενος εἶναι οἴσω ῥᾳδίως τὴν ἀτιμίαν.* 24. *καίτοι ὅπως μὴ ἐς ἐκείνην ἔχῃς καταφεύγειν τὴν ἀπολογίαν, ἐπιλαθέσθαι λέγων ἐν*

---

rexi: *ὧν παρ' ἄλλοις ἄφθονος ἡ ἀπόλαυσις* et certe *ὧν παρ'* etiam Schmieder conjecerat perite usus lectione *πλακούντων*. nam de persona graece dicitur, *ἀπολαύω τί τινος*, raro etiam *ἔκ τινος*, nusquam autem *παρά τινι*. cum syntaxi ab me reposita confer Nigrinum § 14: *ἃ δὴ ἄφθονα παρ' αὐτοῖς ἐστιν.* *τήμερον*] *σήμερον* A. *Παμμένει*] nomen haud infrequens. alius Pammenes sed ejusdem aetatis, non ille quidem philosophus sed actor tragicus, exstat ap. Philostrat. Vit. Soph. II, 1 p. 554.

23. *ἀλλά — φιλοσόφων*] eadem prope verba in Jove Confut. § 6: *οἶδα ὅθεν σοι τὰ κομψὰ ταῦτα ἐρωτήματά ἐστι, παρὰ τῶν καταράτων σοφιστῶν.* *ἀπείη δὲ ἡ* DAΩ et codex ap. Boissonad. ad Aristaenet. p. 490. *ἀπήει* (mg sec. *ἀπείη*) *δὲ ἡ* Λ. *ἀπείη δὲ καὶ ἡ* edd. ante Schmiederum. *εἴπω, τί* edd. ante Reitzium. *εἴπω τὶ,* A et opinor Ω. malim: *ἵνα μὴ τῶν ἀπόρων τι εἴπω, κερ.* *κερατίναν* libri omnes, dorica forma ludibrii ergo fortasse posita. caeteri enim attice dicunt *ὁ κερατίνης*, uti Themistius Or. II p. 35 ed. Dind. et *τὸν κερατίνην*, ut Diogenes L. II, 108 itemque *ἡ κερατίνη* et *τὴν κερατίνην*. *σωρείτην* Ω et v, sed *σωρίτην* (o supra p m) A (ita A). praestat *σωρίτην*.

24. *τὴν ἀπολογίαν* D. *τὴν ἀπολογίαν ὕστερον* AΩΛ et v. *ὕστερον* vocem prorsus inutilem delevi, ut natam ex inferiore illo: *θύοντα ὕστερον.* AΩΛ et v inepte: *καὶ πράγματι*, sed *καὶ πραγμ* D vel simili compendio, quod Solanus legebat *καὶ*

τοσούτῳ θορύβῳ καὶ πράγματι, δίς σε τήμερον προσηγόρευσα καὶ ἕωθεν ἐπὶ τῇ οἰκίᾳ καὶ ἐν τῷ ἀνακείῳ θύοντα ὕστερον. ταῦτα ἐγὼ τοῖς παροῦσιν ἀπολελόγημαι. 25. *εἰ δὲ δείπνου ἕνεκα ὀργίζεσθαί σοι δοκῶ, τὸ κατὰ τὸν Οἰνέα ἐννόησον. ὄψει γὰρ καὶ τὴν Ἄρτεμιν ἀγανακτοῦσαν, ὅτι μόνην αὐτὴν οὐ παρέλαβεν ἐκεῖνος ἐπὶ τὴν θυσίαν, τοὺς ἄλλους θεοὺς ἑστιῶν. φησὶ δὲ περὶ αὐτῶν Ὅμηρος ὧδέ πως·*

ἢ λάθετ' ἢ οὐκ ἐνόησεν, ἀάσατο δὲ μέγα θυμῷ.

καὶ Εὐριπίδης·

Καλυδὼν μὲν ἥδε γαῖα, Πελοπίας χθονὸς
ἐν ἀντιπόρθμοις, πεδί' ἔχουσ' εὐδαίμονα.

καὶ Σοφοκλῆς·

πράγμασι probans ille hoc ipsum. ego conjeceram: *καὶ πραγματείᾳ*, quod verbum saepius ponitur de magna opera in convivii adparatu consumta, ut in Nigrin. § 33 init. et in Cynico § 9 fin. *προσηγόρευσα* DAΛ. *προσηγόρευκα* Ω et v. *τῇ οἰκίᾳ* D. *τὴν οἰκίαν* AΛMΩ. *τῆς οἰκίας* edd. ante Schmiederum.

25. *τὸ* AΩΛ et v. *τῷ* d. *καὶ τῷ* p. *ὅτι* om Ω. *παρέλαβεν*] *παρελλ*ᵅ D (i. e. *παρέλλαβεν*). *ἢ — θυμῷ*] Jl. ι, 537. *μέγα θυμῷ*] *μέγ' ἐνὶ θυμῷ* A. *Εὐριπίδης*] *ὁ εὐριπίδης* Λ. *Καλυδὼν* (*καλυψὼν* A) — *εὐδαίμονα*] primum versum Pseudaristoteles in Rhetor. III, 9 errore tribuit Sophocli (*ὥσπερ τὰ Σοφοκλέους*, inquit, *ἰαμβεῖα· Καλυδὼν — χθονός*), ubi tamen recte scholiasta: ‚*Καλυδὼν μὲν ἥδε γαῖα*' *τοῦ Εὐριπίδου ἐστίν, κεῖται δὲ ἐν τῷ Μελεάγρῳ.* cum hoc alius scholiasta consentit ad Aristoph. Ran. v. 1238, qui de Meleagro Euripidis: *ἡ δὲ ἀρχὴ τοῦ δράματος·* ‚*Καλυδὼν μὲν κ. τ. λ.* e quo loco adparet his versibus ipsum Meleagri Euripideae initium contineri. attamen quum ipse Aristophanes ibidem (in Ran. v. 1238 sqq.) quasi primos Meleagri Euripideae versus hosce potius adtulisse videatur: '*Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν | θύων ἀπαρχὰς —*', etiamnunc ita conjicio, ut ad Ar. Ran. p. 367 dictum est, Meleagri Euripideae non unam antiquitus, sed duplicem exstitisse recensionem. *πελοπίας* DΛ. *πελοπίης* AΩ scholiastes et v. (in Aristotele l. l. *Πελοπείας* vulgo, sed unus ibi codex *πελοπίας*, atque *πελοπίας* etiam schol. ad Ar. Ran. v. 1238 et Gregorius Cor. in Walzi Rhet. Gr. VII p. 1214, sed in Demetrio De Elocut. c. 58 ante Victorium fuerat: *ἠδὲ γαῖα πελοπιά χθονός*). *ἐν ἀντιπόρθμοις*] *ἔναντι πορθμοῖς* D. *ἐνάντι πόρθμοις* A. (in De-

437 * συὸς μέγιστον χρῆμ' ἐπ' Οἰνέως γύαις
ἀνῆκε Λητοῦς παῖς ἑκηβόλος θεά.

26. ταῦτά σοι ἀπὸ πολλῶν ὀλίγα παρεθέμην, ὅπως μάθῃς οἷον ἄνδρα παραλιπὼν Δίφιλον ἑστιᾷς καὶ τὸν υἱὸν αὐτῷ παραδέδωκας. εἰκότως· ἡδὺς γάρ ἐστι τῷ μειρακίῳ καὶ πρὸς χάριν αὐτῷ σύνεστιν. εἰ δὲ μὴ αἰσχρὸν ἦν ἐμὲ λέγειν τὰ τοιαῦτα, κἄν τι προσέθηκα, ὅπερ σὺ, εἰ θέλεις, παρὰ Ζωπύρου τοῦ παιδαγωγοῦ μάθοις ἂν ἀληθὲς ὄν. ἀλλ' οὐ χρὴ ταράττειν ἐν γάμοις οὐδὲ διαβάλλειν ἄλλως, καὶ μάλιστα ἐφ' οὕτως αἰσχραῖς αἰτίαις. καὶ γὰρ εἰ Δίφιλος ἄξιος δύο ἤδη μαθητάς μου περισπάσας, ἀλλ' ἔγωγε φιλοσοφίας αὐτῆς ἕνεκα σιωπήσομαι. 27. προσέταξα δὲ τῷ οἰκέτῃ τούτῳ, ἣν

---

metrio l. l. ante Victorium item fuerat: ἔναντι πορθμοῖς, sed misere in scholio Aristotelis l. l.: ἐν ἀντιπορέμοις πάντ' ἔχουσιν εὐδαιμονίαν.) πεδί'] πεδί' A. ἔχουσ'] ἔχουσα A et v. καὶ Σοφοκλῆς·] Sophocles quoque tragoediam sub nomine scripserat Meleagri. itaque Solanus ad h. l. optime conjecit e Meleagro Sophoclis hos versus depromtos esse. Solanum fragmentorum editores partim secuti sunt, Brunckius et Dindorfius, ne Nauckio quidem p. 245 multum dubitante. χρῆμ'] χρῆμα AΔ. γυίαις Δ. libri ἀνῆκε Λητοῦς παῖς. at Sophocles ita videtur scripsisse: Λητοῦς ἀνῆκεν παῖς —.

26. μὴ αἰσχρὸν] μὴ om Ω. libri vitiose: καὶ ἄν τι (καὶ ἄν τι A). posui nunc id quod sufficit, κἄν τι. neque enim opus est supplere, κἂν ἄλλο τι, quanquam ἄλλο τι rem Veneream occulte monstrat ap. Menandrum Κυβερνήταις in Stobaei Flor. XXII, 19, v. 4. olim in Quaestt. L. p. 208 Lehmanno non improbante conjeceram: τάχ' ἄν τι προσέθηκα (ita saltem debebam, non καὶ προσέθηκα). εἰ θέλεις AΩ et v. εἰ θέλεις Δ (ita Δ). Ζωπύρου] hinc profecit Alciphro Ep. III, 57: ἐσκωψάμην τὸν τροφέα τοῦ νεανίσκου (ita Reitzius pro τὸν νεανίσκον) Ζώπυρον. τοῦ παιδαγωγοῦ DA. τοῦ παιδαγωγοῦ αὐτοῦ ΔΩ et v. μάθοις ἂν ΔDΩ et v. ἂν μάθοις A solus. διαβάλλειν ἄλλως] ita correxi. libri διαβάλλειν ἄλλους. at διαβάλλειν ἄλλως est ‚ex vano (sine argumentis) calumniari'. vide vel Catapl. § 26: καὶ ταῦτα ὅτι μὴ ἄλλως κενή τίς ἐστι κατ' αὐτοῦ διαβολή, αὐτίκα εἴσῃ. καὶ γὰρ εἰ —] Sophocles in Oed. Col. v. 726. περισπάσας DAΔΩ et scholiasta. ἀποσπάσας edd. vett. περισπᾶν proprie positum est

διδῴς αὐτῷ μοῖράν τινα ἢ συὸς ἢ ἐλάφου ἢ σησαμοῦν-
τος, ὡς ἐμοὶ διακομίσειε καὶ ἀντὶ * τοῦ δείπνου ἀπο- 438
λογία γένοιτο, μὴ λαβεῖν, μὴ καὶ δόξωμεν ἐπὶ τούτῳ
πεπομφέναι.“ 28. τούτων, ὦ ἑταῖρε, ἀναγιγνωσκομένων
μεταξὺ ἱδρώς τέ μοι περιεχεῖτο ὑπ᾽ αἰδοῦς, καὶ τοῦτο
δὴ τὸ τοῦ λόγου, χανεῖν μοι τὴν γῆν ηὐχόμην ὁρῶν
τοὺς παρόντας γελῶντας ἐφ᾽ ἑκάστῳ, καὶ μάλιστα ὅσοι
ᾔδεσαν τὸν Ἑτοιμοκλέα, πολιὸν ἄνθρωπον καὶ σεμνὸν
εἶναι δοκοῦντα. ἐθαύμαζον οὖν οἷος ὢν διαλάθοι αὐ-
τοὺς ἐξαπατωμένους τῷ πώγωνι καὶ τῇ τοῦ προσώπου
ἐντάσει. ὁ γὰρ Ἀρισταίνετος ἐδόκει μοι οὐκ ἀμελείᾳ
παριδεῖν αὐτὸν, ἀλλ᾽ οὔποτ᾽ ἂν ἐλπίσας κληθέντα ἐπι-
νεῦσαι οὐδ᾽ ἂν ἐμπαρασχεῖν ἑαυτὸν τοιούτῳ τινί· ὥστε
οὐδὲ τὴν ἀρχὴν πειρᾶσθαι ἠξίου. 29. ἐπεὶ δ᾽ οὖν
ἐπαύσατό ποτε ὁ οἰκέτης ἀναγιγνώσκων, τὸ μὲν συμ-
πόσιον ἅπαν εἰς τοὺς ἀμφὶ τὸν Ζήνωνα καὶ Δίφιλον
ἀπέβλεπε δεδοικότας καὶ ὠχριῶντας καὶ τῇ ἀπορίᾳ τῶν
προσώπων ἐπαληθεύοντας τὰ ὑπὸ τοῦ Ἑτοιμοκλέους
κατηγορηθέντα· ὁ Ἀρισταίνετος δὲ ἐτετάρακτο καὶ θο-
ρύβου μεστὸς ἦν· ἐκέλευε δ᾽ ὅμως πίνειν ἡμᾶς καὶ

in Bis Accusat. § 34, translate autem ut h. l. etiam in Judic. Voc. § 8. *ἀλλ᾽ ἔγωγε*] Quaestt. L. p. 105. *ἕνεκα* ΔΩ et v. *ἕνεκεν* A.

27. *σησαμοῦντος*] ut in coena nuptiali hic et infra § 38 init. vide Meinekium ad Menandri Fr. p. 295 ed. prim. *διακομίσειεν* Ω. *δόξωμεν*] *δοξω̄* D, qui compendia habet ubique.

28. *ἀναγιγνωσκομένων* e g. *ἀναγινωσκομένων* libri et edd. vett. *ᾔδεσαν* ΑΩΜΔ edd. ante Reitzium. *ᾔδεισαν* D. *αὐτοὺς* om a. *ἐντάσει*] *ἐνστάσει* A. *ὁ γὰρ Ἀρισταίνετος* ΑΩ. *ὁ γοῦν Ἀρισταίνετος* Δ et v. enimvero hic corrigendum est: *ὁ μὲν γὰρ Ἀρισταίνετος* —. vide vel geminum locum De Sacrific. § 15. *παριδεῖν* Δ et edd. vett. et fortasse DM. *περιιδεῖν* A et fortassis Ω, quod contra omnes libros cum vulgata commutandum esset. verbo *παρορᾶν* (cui simile est *ὑπερορᾶν* in Timone § 26) alibi opponitur verbum *τιμᾶν*. longe aliud est *περιιδεῖν* et tum quoque addi deberet participium. *αὐτὸν*] *αὐτῶν* a.

29. *ἐπαύσαντο* fuerat in A, sed *ν* erasum. *ἀναγιγνώσκων* bcd et v. *ἀναγινώσκων* DAΔMΩa. *ἀπέπεμψεν εἰπὼν*] malim: *ἀπέπεμψεν ἐπειπὼν* —. vide vel Macrobios § 23 fin. *καὶ* (post

ἐπειρᾶτο εὖ διατίθεσθαι τὸ γεγονὸς ὑπομειδιῶν ἅμα,
καὶ τὸν οἰκέτην ἀπέπεμψεν εἰπὼν ὅτι ἐπιμελήσεται τού-
439 των. μετ' ὀλίγον * δὲ καὶ ὁ Ζήνων ὑπεξανέστη ἀφα-
νῶς, τοῦ παιδαγωγοῦ νεύσαντος ἀπαλλάττεσθαι, ὡς
κελεύσαντος τοῦ πατρός. 30. ὁ Κλεόδημος δὲ καὶ
πάλαι τινὸς ἀφορμῆς δεόμενος, (ἐβούλετο γὰρ συμπλα-
κῆναι τοῖς Στωϊκοῖς καὶ διερρήγνυτο οὐκ ἔχων ἀρχὴν
εὔλογον) τότε οὖν τὸ ἐνδόσιμον παρασχούσης τῆς ἐπι-
στολῆς, τοιαῦτα, ἔφη, ἐξεργάζεται ὁ καλὸς Χρύσιππος
καὶ Ζήνων ὁ θαυμαστὸς καὶ Κλεάνθης, ῥημάτια
δύστηνα καὶ ἐρωτήσεις μόνον καὶ σχήματα φιλοσόφων,
τὰ δ' ἄλλα Ἑτοιμοκλεῖς οἱ πλεῖστοι· καὶ αἱ ἐπιστολαὶ
ὁρᾶτε ὅπως πρεσβυτικαί, καὶ τὸ τελευταῖον Οἰνεὺς μὲν
Ἀρισταίνετος, Ἑτοιμοκλῆς δὲ Ἄρτεμις. Ἡράκλεις, εὔ-
φημα πάντα καὶ ἑορτῇ πρέποντα. 31. νὴ Δί', εἶπεν
ὁ Ἕρμων ὑπερκατακείμενος· ἠκηκόει γάρ, οἶμαι, ὗν

μετ' ὀλίγον δὲ) om D. τοῦ παιδαγωγοῦ] Zopyrum dicit (uti supra est § 26: Ζωπύρου τοῦ παιδαγωγοῦ), qui Zenonem adolescentem ab Diphilo stoico sciebat corruptum esse.

30. τὸ ἐνδόσιμον] haec melius quam scholiasta perspexit Wielandius. patet enim e superiore συμπλακῆναι, h. l. dici pugnae tesseram (τὸ σύνθημα vulgo dicitur et in Baccho § 4). καὶ Κλεάνθης] suppleo: καὶ [ὁ σοφὸς] Κλεάνθης. αἱ ἐπιστολαὶ ΑΛ et v., sed αἱ om DΩa. πρεσβυτικαὶ ΑΛ et v., sed πρεσβευτικαὶ ΥΩa. Οἰνεὺς] ὁ οἰνεὺς A solus. Ἑτοιμοκλῆς] Ἑτοιμοκλεῖς cd. in scholio ad h. l.: — οὐδὲ ὁ Ἀρισταίνετος τὸν Τιμοκλέα ἐπὶ τὸ δεῖπνον (sc. ἐκάλεσεν) cum Schmiedero scripserim: τὸν Ἑτοιμοκλέα. vide tamen quae supra ad § 21 conjeci.

ὦ Λυκῖνε, ὃς νῦν ἄρχομαι παρακύπτειν ἐς τὴν ὁδόν;
ἡ δ' Ἀρετὴ πάνυ πόρρω κατὰ τὸν Ἡσίοδον οἰκεῖ καὶ
ἔστιν ὁ οἶμος ἐπ' αὐτὴν μακρός τε καὶ ὄρθιος καὶ
τρηχύς, ἱδρῶτα οὐκ ὀλίγον ἔχων τοῖς ὁδοιπόροις. ΛΥΚ.
οὐχ ἱκανὰ οὖν ἵδρωταί σοι, ὦ Ἑρμότιμε, καὶ ὡδοι-
πόρηται; ΕΡΜ. οὔ φημι· οὐδὲν γὰρ ἂν ἐκώλυέ με
πανευδαίμονα εἶναι, ἐπὶ τῷ ἄκρῳ γενόμενον. τὸ δὲ

---

2. ὁπόσον HΩ et v. ὁποῖον G. οἷόν HΩ et v. ὃν G. εἰ γάρ τι] malim: εἰ γάρ τοι —. εἴκοσιν H et v. εἴκοσι G. κ. a. sed μ̄ habet Ω. ἄλλο] ἄλλῳ c. sola. παρὰ τοὺς GΩ et v. περὶ τοὺς HCM. τὸ πολὺ GHΩ. τοπολὺ v. καὶ ὑπομνήματα] καὶ e Reitziana temere excidit. ἀνιέναι HΩ et v. ἀνέναι G. ἀπιέναι C. σεαυτὸν GHΩM. σαυτὸν v. ὅλος EHΩ. ὅλως G. ὅλον U. ὁ λόγος C. ὅλως edd. vett. εἶ G probante Jacobitio. εἶναι HΩ et v. Ἡσίοδον] Ἔργ. v. 289 sqq. οὐχ] οὐκ cd. οὖν om H. ὡδοιπόρηται EGHΩ. ὁδοιπόρηται abcd. οὔ φημι H. οὔ, φημὶ v. γὰρ ἂν ἐκώλυέ Belinus. γὰρ ἐκώλυέ libri (etiam GHΩ). ἄκρῳ habent GHΩ et v. om CM. ἀρχόμεθα EGHΩCM. ἀρχόμεσθα edd. vett. ἔτι ὦ Λυκῖνε] ἔτι habent GHΩ et v. om ἔτι CM male. huc enim respicitur infra § 60 fin: ἐνάρχεσθαι ἔτι ἔλεγες.

νῦν ἀρχόμεθα ἔτι, ὦ Λυκῖνε. 3. ΛΥΚ. ἀλλὰ τήν γε ἀρχὴν ὁ αὐτὸς οὗτος Ἡσίοδος ἥμισυ τοῦ παντὸς ἔφη εἶναι, ὥστε κατὰ μέσην τὴν ἄνοδον ἤδη λέγοντες εἶναί σε οὐκ ἂν ἁμάρτοιμεν. ΕΡΜ. οὐδέπω οὐδὲ τοῦτο· πάμπολυ γὰρ ἂν ἡμῖν ἤνυστο. ΛΥΚ. ἀλλὰ ποῦ γάρ σε φῶμεν τῆς ὁδοῦ τυγχάνειν ὄντα; ΕΡΜ. ἐν τῇ ὑπωρείᾳ κάτω, ὦ Λυκῖνε, ἄρτι προβαίνειν βιαζόμενον· ὀλισθηρὰ δὲ καὶ τραχεῖα καὶ δεῖ χεῖρα ὀρέγοντος. ΛΥΚ. οὐκοῦν ὁ διδάσκαλός σοι τοῦτο ἱκανὸς ποιῆσαι, ἄνωθεν ἐκ τοῦ ἄκρου καθάπερ ὁ τοῦ Ὁμήρου Ζεὺς χρυσῆν
743 τινα σειρὰν καθιεὶς τοὺς αὑτοῦ λόγους, ὑφ' ὧν σε * ἀνασπᾷ δηλαδὴ καὶ ἀνακουφίζει πρὸς αὑτόν τε καὶ τὴν ἀρετὴν αὐτὸς πρὸ πολλοῦ ἀναβεβηκώς. ΕΡΜ. αὐτὸ ἔφησθα, ὦ Λυκῖνε, τὸ γιγνόμενον. ὅσον γοῦν ἐπ' ἐκείνῳ πάλαι ἀνεσπάσμην ἂν καὶ συνῆν αὐτοῖς· τὸ δ' ἐμὸν ἔτι ἐνδεῖ. 4. ΛΥΚ. ἀλλὰ θαρρεῖν χρὴ καὶ θυμὸν ἔχειν ἀγαθὸν ἐς τὸ τέλος τῆς ὁδοῦ ὁρῶντα καὶ τὴν ἄνω

---

3. Ἡσίοδος] at multi viderunt ab Luciano aberratum esse ad proverbium vere Hesiodeum, sed longe diversum in Ἔργ. v. 40: ὅσῳ πλέον ἥμισυ παντός. nostro autem loco hoc respicitur proverbium: ἀρχὴ δέ τοι ἥμισυ παντός, quod ipse Lucianus in Somnio § 3 sine auctore adfert, ubi vide Hemsterhusium. alii quidam scriptores hoc dictum vel Pythagorae dederunt vel oraculo Apollinis. certe finis est hexametri, ut e poeta sumtum esse adpareat. ἤδη λέγοντες εἶναί σε GHΩ recte. εἶναί σε ἤδη λέγοντες v. at verba κατὰ μέσην τὴν ἄνοδον ἤδη arcte cohaerent. ἡμῖν] ὑμῖν a. κάτω ὦ λυκῖνε GHΩ. κάτω ἔτι, ὦ Λυκῖνε v, cui scripturae favet vulgata in Charone § 5 init. at h. l. ἔτι natum videtur ex eisdem verbis modo praegressis § 2 fin: ἔτι ὦ Λυκῖνε, ubi item variatur. προοβαίνειν G. τραχεῖαι H. ἱκανὸς] ἱκανῶς E. τοὺς αὑτοῦ pro τοὺς αὐτοῦ et mox πρὸς αὑτόν pro πρὸς αὐτόν Belinus recte. ὑφ' ὧν σε] ὑφ' ὧν δὲ EH (in H hic incipit folium novum). ὅσον M. ὃς C. ὅσῳ GHΩ et v. γ' οὖν GH. πάλαι ἀνεσπάσμην ἂν] ita ego conjeci. libri: πάλαι ἀνεσπάσμην (ἀνεσπασμένην G) ἄνω. Jacobsi conjecturae: πάλαι ἂν ἐσπάσμην ἄνω repugnant superiora: ὑφ' ὧν σε ἀνασπᾷ. parum eleganter Cobetus V. L. p. 241: πάλαι ἂν ἀνεσπάσμην ἄνω. δ' om G.

4. ξυμπροθυμουμένου EGHΩCM. συμπροθυμουμένου v. ὑποφαίνειν EΩ. δήποτε v. δή ποτε H. τότε (omisso δὴ) M.

εὐδαιμονίαν, καὶ μάλιστα ἐκείνου ξυμπροθυμουμένου. πλὴν ἀλλὰ τίνα σοι ἐλπίδα ὑποφαίνει, ὡς δὴ πότε ἀναβησομένῳ; ἐς νέωτα εἴκαζεν ἐπὶ τὸ ἄκρον ἔσεσθαί σε, οἷον μετὰ τὰ μυστήρια τὰ ἄλλα ἢ Παναθήναια; ΕΡΜ. ὀλίγον φῄς, ὦ Λυκῖνε. ΛΥΚ. ἀλλ' ἐς τὴν ἑξῆς Ὀλυμπιάδα; ΕΡΜ. καὶ τοῦτο ὀλίγον ὡς πρὸς ἀρετῆς ἄσκησιν καὶ εὐδαιμονίας κτῆσιν. ΛΥΚ. μετὰ δύο μὲν δὴ Ὀλυμπιάδας πάντως· ἢ πολλήν γ' ἂν ὑμῶν ῥᾳθυμίαν καταγνοίη τις, εἰ μηδ' ἐν τοσούτῳ χρόνῳ [ἀνελθεῖν] δύναισθε, ὅσον τρὶς ἀπὸ Ἡρακλείων στηλῶν εἰς Ἰνδοὺς ἀπελθεῖν εἶτ' ἐπανελθεῖν ῥᾴδιον, εἰ καὶ μὴ εὐθεῖαν μηδ' ἀεὶ βαδίζοι τις, ἀλλὰ [βραδύνοι] ἐν τοῖς διὰ μέσου ἔθνεσι περιπλανώμενος. καίτοι πόσῳ τινὶ βούλει ὑψηλοτέραν καὶ λισσοτέραν θῶμεν εἶναι τὴν ἄκραν, * 744

δὴ τότε C. δὴ πότε G et fortassis Ω cum Struvio L. L. p. 237. ἐς νέωτα H et v. εἰς νέωτα GΩ et lemma scholii. frustra Struvius L. L. p. 238: μετὰ τὰ μυστήρια τὰ μεγάλα et Remacly: μετὰ τὰ μυστήρια ἢ τὰ ἄλλα Παναθήναια conjecerunt. immo recte libri: μετὰ τὰ μυστήρια τὰ ἄλλα, hoc est: ‚post mysteria proxima‘. vide vel Eurip. Iphig. Aul. v. 122: εἰς τὰς ἄλλας ὥρας γὰρ δὴ | παιδὸς δαίσομεν ὑμεναίους. quae res eo magis certa est, quod verbis ἐς νέωτα idem tempus declaratum est. prorsus eodem modo ap. Callimachum h. in Cer. v. 124 ἔτος εἰς ἄλλο nihil aliud est nisi ἐς νέωτα, uti bene judicavit Meinekius ad Callim. p. 236. μετὰ δύο ὀλυμπιάδας ἢ πολλὴν H. χρόνῳ δύνασθε Ω et v. χρόνῳ δύνασθαι GH. pro vulgato δύνασθε jam Belinus δύναισθε conjecit optativo bene restituto. praeterea ego supplevi qui male deficit infinitivum: χρόνῳ ἀνελθεῖν δύναισθε. nam ἀνελθεῖν ut excideret in causa fuerunt verba proxima: ἀπελθεῖν εἶτ' ἐπανελθεῖν. idem autem verbum de eadem re bis habemus § 5 fin: ἀνελθόντας — ἀνελθεῖν. ἀπελθεῖν εἶτ' ἐπανελθεῖν HΩ et v. sed ἀπελθεῖν (omissis illis εἶτ' ἐπανελθεῖν) G. vix recte nunc εἶτα positum est. malim sane: ἀπελθεῖν τε καὶ (sive ἀπελθεῖν καὶ) ἐπανελθεῖν. εἰ καὶ μὴ HΩ et v. εἰ μὴ καὶ G. εὐθεῖαν EGΩTUV et fortasse CM. εὐθείαν H. εὐθὺ edd. vett. μηδ' ἀεὶ G et v. μὴ δὲ (μηδὲ Ω) ἀεὶ HΩ. βαδίζοι GHΩ et v. βαδίζει CV. ἀλλὰ ἐν GHΩ. ἀλλ' ἐν v. haec quoque vitiosa sunt. sed pristina conjectura mea: ἄλλως ἐν (i. e. ‚temere, nullo consilio‘) sententiae non satisfacit. postea intellexisse videor post ἀλλὰ hunc ipsum optativum: βραδύνοι excidisse ocu-

ἐφ' ἧς ὑμῖν ἡ Ἀρετὴ οἰκεῖ, τῆς Ἀόρνου ἐκείνης, ἣν ἐντὸς ὀλίγων ἡμερῶν Ἀλέξανδρος κατὰ κράτος εἷλεν; 5. ΕΡΜ. οὐδὲν ὅμοιον, ὦ Λυκῖνε, οὐδ' ἔστι τὸ πρᾶγμα τοιοῦτον, οἷον σὺ εἰκάζεις, ὡς ὀλίγῳ χρόνῳ κατεργασθῆναι καὶ ἁλῶναι, οὐδ' ἂν μυρίοι Ἀλέξανδροι προσβάλλωσιν· ἐπεὶ πολλοὶ ἂν οἱ ἀνιόντες ἦσαν. νῦν δὲ ἐνάρχονται μὲν οὐκ ὀλίγοι μάλα ἐρρωμένως καὶ προέρχονται ἐπὶ ποσόν, οἱ μὲν ἐπὶ πάνυ ὀλίγον, οἱ δὲ ἐπὶ πλέον· ἐπειδὰν δὲ κατὰ μέσην τὴν ὁδὸν γένωνται πολλοῖς τοῖς ἀπόροις καὶ δυσχερέσιν ἐντυγχάνοντες ἀποδυσπετοῦσί τε καὶ ἀναστρέφουσιν ἀσθμαίνοντες καὶ ἱδρῶτι ῥεόμενοι, οὐ φέροντες τὸν κάματον. ὅσοι δ' ἂν εἰς τέλος διακαρτερήσωσιν, οὗτοι πρὸς τὸ ἄκρον ἀφικνοῦνται καὶ τὸ ἀπ' ἐκείνου εὐδαιμονοῦσι θαυμάσιόν τινα βίον τὸν λοιπὸν βιοῦντες, οἷον μύρμηκάς ἀπὸ τοῦ ὕψους ἐπισκοποῦντές τινας τοὺς ἄλλους. ΛΥΚ. παπαί, ὦ Ἑρμότιμε, ἡλίκους ἡμᾶς ἀποφαίνεις, οὐδὲ κατὰ τοὺς
745 * Πυγμαίους ἐκείνους, ἀλλὰ χαμαιπετεῖς ἐν χρῷ τῆς γῆς. εἰκότως· ὑψηλὰ γὰρ ἤδη φρονεῖς καὶ ἄνωθεν [πάντα πατεῖς·] ἡμεῖς δὲ ὁ συρφετὸς καὶ ὅσοι χαμαὶ

---

lis scribae per similitudinem verbi proximi *βαδίζοι* deceptis. quare nunc ita supplevi: *ἀλλὰ [βραδύνοι] ἐν —*. *λισσοτέραν* H et v. *διοσοτέραν* GV. *Ωατοτέραν* (sic) Ω. *ὑμῖν* EHΩMabc. *ἡμῖν* Gd. *ἀλέξανδρος* Ω et v. *ὁ ἀλέξανδρος* GH. *κατακράτος* abc.

5. *μυρίοι* GHΩ. *μύριοι* v. *προσβάλλωσιν* GΩ. *προσβάλωσιν* H et v. vide infra § 35 fin. *ἐπὶ πολλοὶ ἂν* G. *ἐπεὶ πολλοὶ* (omisso *ἂν*) H. *ἐνάρχονται* CM et fortassis Ω probante Jacobitio. *ἀνέρχονται* GH et v. vide § 60 fin. *προέρχονται* Gesner. male libri (etiam GHΩ): *προσέρχονται*. compara § 3 med: *προβαίνειν*. *ἐπιπλέον* a. *ἐπεὶ δ' ἂν* G. *ἀναστρέφουσιν* GHΩ et v. *ἀναστρέφονται* CM. *τὸν λοιπὸν* GΩ et v. *τὸ λοιπὸν* H, ut voluerat Courierius ad Asinum p. 259. at vero *τὸ ἀπ' ἐκείνου* jam praecessit. *οἷον μύρμηκας — τινας τοὺς ἄλλους*] vulgarem ordinem: *οἷον μύρμηκάς τινας — τοὺς ἄλλους* requisivisse Solanus videtur, cui non adsentior. *παπαῖ* Jacobitius. *παπαὶ* GH et v. *βαβαί* U. *χαμαὶ παντάπασιν* G et edd. Reitziana priores. *χαμαὶ πάντα παθεῖν* HCM et E apud Reitzium. *χαμαὶ πάντα πασᾶν* Ω. *χαμαιπετεῖς παντάπασιν* V. *χαμαιπετεῖς* habent etiam TU. *χαμαιπετεῖς πάντα παθεῖν* idem

ἐρχόμενοι ἐσμὲν, μετὰ τῶν θεῶν καὶ ὑμᾶς προσευξόμεθα ὑπερνεφέλους γενομένους καὶ ἀνελθόντας οἷ πάλαι σπεύδετε. *ΕΡΜ.* εἰ γὰρ γένοιτο κἀμοὶ ἀνελθεῖν, ὦ Λυκῖνε· ἀλλὰ πάμπολυ τὸ λοιπόν. 6. *ΛΥΚ.* ὅμως οὐκ ἔφησθα ὁπόσον, ὡς χρόνῳ περιλαβεῖν. *ΕΡΜ.* οὐδ' αὐτὸς γὰρ οἶδα, ὦ Λυκῖνε, τἀκριβές· εἰκάζω μέντοι οὐ πλείω τῶν εἴκοσιν ἐτῶν ἔσεσθαι, μεθ' ἃ πάντως που ἐπὶ τῷ ἄκρῳ ἐσόμεθα. *ΛΥΚ.* Ἡράκλεις, πολὺ λέγεις.

---

ille E apnd Solanum. magno Gesneri errori, qni legendnm esse conjecit: χαμαὶ πατεῖς vertitque ‚humi conculcas‘ ‚humi deprimis‘, aliquid tamen veri subesse mox ostendam. caeteri omnes Graevio auctore χαμαιπετεῖς παντάπασιν probarunt vocabulo χαμαιπετεῖς (id qnod Gesner non viderat) optime restituto. at παντάπασιν, si nlla codicum fides est, Lucianus non scripsit. itaque ego istuc παντάπασιν delevi. at, inquit, in antiqua lectione πάντα παθεῖν aliquid tamen latere necesse est. enimvero latet in ea hoc ipsum: πάντα πατεῖς, id quod minime hoc loco, sed paullo inferiore post καὶ ἄνωθεν necessario inserendnm est. antiquitus enim ab literis *ΠΕΤΕΙΣ* ad literas *ΠΑΤΕΙΣ* aberratum est eoqne factum, ut et χαμαὶ pro χαμαιπετεῖς falso exararetur et ut verba πάντα παθεῖν (i, e. πάντα πατεῖς) alienam sedem post hoc ipsum χαμαιπετεῖς invaderent. libri absurde: ὑψηλὰ γὰρ ἤδη φρονεῖς καὶ ἄνωθεν. nam ἄνωθεν φρονεῖν prorsus nihili est. nempe hoc ipso loco illud quod libri supra post χαμαὶ (sive χαμαιπετεῖς) habent, illud inquam: πάντα παθεῖν inserui et ita inserui, nt pro eo πάντα πατεῖς restituerem. exspectabatur hic non ut ego supplevi: καὶ ἄνωθεν πάντα πατεῖς, sed potius: καὶ ἄνωθεν πάντα καθορᾷς, quae eadem fere in Charone § 2 fin. leguntur. sed pro vulgari πάντα καθορᾷς nostro loco, ut fastum philosophi rideret, acerbe scripsit: πάντα πατεῖς (‚desuper omnia conculcas‘). hanc vim saepe habet verbum πατεῖν, etiam in Luciano. ἡμεῖς δὲ HΩ et v. ἡμεῖς δὴ G, male. χαμαὶ (χάμαι G) ἐρχόμενοι ex Jl. ε', 442 sive Hesiod. Theog. v. 272. cf. Icaromen. § 6. οἷ H et v. οἱ GΩ. κἀμοὶ ἀνελθεῖν] ita conjeci: ‚mihi qnoque‘ (scil. ut aliis maximeqne magistro meo). κἀνελθεῖν G. καὶ ἀνελθεῖν HΩ et v, quae scripturae ejusmodi sunt nt καί nihil significet. de dativo compara Icaromen. § 25 bis.

6. χρόνῳ] ὅρῳ Cobetus V. L. p. 241 sine causa. περιλαβεῖν GCM. περιβαλεῖν EHΩTUV. παραβαλεῖν edd. vett. εἴκοσι G. κ' H. . κ. a. nt illa solet. πάντως που ἐπὶ EΩCM. πάντως ποῦ ἐπὶ G. πάντως τοῦ ἐπὶ H. πάντως που καὶ ἐπὶ v.

ΕΡΜ. καὶ γὰρ περὶ μεγάλων, ὦ Λυκῖνε, οἱ πόνοι.
ΛΥΚ. τουτὶ μὲν ἴσως ἀληθές· ὑπὲρ δὲ τῶν εἴκοσιν
ἐτῶν, ὅτι βιώσῃ τοσαῦτα, πότερον ὁ διδάσκαλός σου
καθυπέσχετο, οὐ μόνον σοφὸς, ἀλλὰ καὶ μαντικὸς ὢν
ἢ χρησμολόγος τις ἢ ὅσοι τὰς Χαλδαίων μεθόδους
ἐπίστανται; φασὶ γοῦν εἰδέναι τὰ τοιαῦτα. οὐ γὰρ δὴ
746 σέ γε * εἰκὸς ἐπὶ τῷ ἀδήλῳ, εἰ βιώσῃ μέχρι πρὸς τὴν
ἀρετὴν, τοσούτους πόνους ἀνέχεσθαι καὶ ταλαιπωρεῖν
νύκτωρ καὶ μεθ' ἡμέραν οὐκ εἰδότα, εἴ σε πλησίον ἤδη
τοῦ ἄκρου γενόμενον τὸ χρεὼν ἐπιστὰν κατασπάσει
λαβόμενον τοῦ ποδὸς ἐξ ἀτελοῦς τῆς ἐλπίδος. *ΕΡΜ.*
ἄπαγε· δύσφημα γὰρ ταῦτα, ὦ Λυκῖνε. ἀλλ' εἴη βιῶναι,
ὡς μίαν γοῦν ἡμέραν εὐδαιμονήσω σοφὸς γενόμενος.
ΛΥΚ. καὶ ἱκανή σοι ἀντὶ τῶν τοσούτων καμάτων ἡ
μία ἡμέρα; *ΕΡΜ.* ἐμοὶ μὲν καὶ ἀκαριαῖον ὁπόσον
ἱκανόν. 7. *ΛΥΚ.* τὰ δὲ δὴ ἄνω ὅτι εὐδαίμονα καὶ
τοιαῦτα, ὡς πάντα χρῆναι ὑπομεῖναι δι' αὐτὰ, πόθεν
ἔχεις εἰδέναι; οὐ γὰρ δὴ αὐτός πω ἀνελήλυθας. *ΕΡΜ.*
ἀλλὰ τῷ διδασκάλῳ πιστεύω λέγοντι· ὁ δὲ πάνυ οἶδεν
ἅτε ἀκρότατος ἤδη ὤν. *ΛΥΚ.* ἔλεγε δὲ πρὸς θεῶν
ποῖ' ἄττα περὶ αὐτῶν ἢ τίνα τὴν εὐδαιμονίαν εἶναι
τὴν ἐκεῖ; ἤ πού τινα πλοῦτον καὶ δόξαν καὶ ἡδονὰς
ἀνυπερβλήτους; *ΕΡΜ.* εὐφήμει, ὦ ἑταῖρε· οὐδὲν γὰρ

μεγάλων GHΩCM. *μεγίστων* v. *τουτὶ* GHΩ et v. *τοῦτο* CM falso. *εἴκοσι* G..*κ.* a. *πότερον*] *πρότερον* a. *ὅσοι*] *ὅσον* G. *γοῦν*] *γ'οὖν* G et mox H: *μεθημέραν.* *εἴ σε*] *εἰς σὲ* G. *ἐπιστᾶν* GH. *ἀλλ' εἴη βιῶναι*] *ἀλλὰ βιῶναι* (*ἀ* sec m in rasura] H. *καὶ ἱκανή*] *καί* malim abesse.

7. *ΛΥΚ.* hic om et habet ante *πόθεν* G. *λυκῖν* itemque proxime *ἑρμοτιμ* et *λυκῖν* sec man H. *χρῆναι ὑπομεῖναι* Remacly et Dindorfius. libri *χρὴν ὑπομεῖναι.* *ὁ δὲ*] *ὅδε* G. *ποῖ' ἄττα περὶ αὐτῶν* Dobraeus ad Collat. Ar. Nubium v. 1135. libri *ποῖα τὰ περὶ αὐτῶν* turpi articulo. plane sic de eadem re § 8 init: *εὐδαίμονα λέγεις περὶ αὐτῶν.* vide vel Hermotim. § 31 *τοιαῦτα ἄττα* et Porsonum ad Ar. Ran. v. 956. *ἤπου*] *ἤπου* G. *ἤ πού* (sed pr m *ἢ ποῦ*) H. *ταῦτα* post *βίον* habet G. at tum Lucianus scripsisset: *οὐδὲν γὰρ πρὸς τ. ἐ. τ. ἀ. βίον ἐστὶ ταῦτά γε.* *ΛΥΚ.* ante *ἀλλὰ* om bcd. *τἀγαθὰ*] *τὰ ἀγαθα* H. *ἀν-*

ἐστι ταῦτα πρὸς τὸν ἐν τῇ ἀρετῇ βίον. *ΛΥΚ.* ἀλλὰ
τίνα φησὶ τἀγαθά, εἰ μὴ ταῦτα, ἕξειν πρὸς τὸ τέλος
τῆς ἀσκήσεως ἐλθόντας; *ΕΡΜ.* σοφίαν καὶ ἀνδρείαν
καὶ τὸ καλὸν αὐτὸ καὶ τὸ δίκαιον καὶ τὸ πάντα ἐπί-
στασθαι βεβαίως πεπεισμένον, ᾗ ἕκαστα ἔχει. πλούτους
δὲ καὶ δόξας καὶ ἡδονὰς καὶ ὅσα τοῦ σώματος, ταῦτα
πάντα κάτω ἀφεὶς καὶ ἀποδυσάμενος ἀνέρχεται, ὥσπερ
φασὶ τὸν Ἡρακλέα ἐν τῇ Οἴτῃ κατακαυθέντα θεὸν
γενέσθαι. καὶ γὰρ ἐκεῖνος * ἀποβαλὼν ὁπόσον ἀνθρώ- 747
πειον εἶχε παρὰ τῆς μητρὸς καὶ καθαρόν τε καὶ ἀκή-
ρατον φέρων τὸ θεῖον ἀνέπτατο ἐς τοὺς θεούς, διευ-
κρινηθὲν ὑπὸ τοῦ πυρός. καὶ οὗτοι δὴ ὑπὸ φιλοσοφίας
ὥσπερ ὑπό τινος πυρὸς ἅπαντα ταῦτα περιαιρεθέντες,
ἃ τοῖς ἄλλοις θαυμαστὰ εἶναι δοκεῖ οὐκ ὀρθῶς δοξά-
ζουσιν, ἀνελθόντες ἐπὶ τὸ ἄκρον εὐδαιμονοῦσι, πλούτου
καὶ δόξης καὶ ἡδονῶν ἀλλ' οὐδὲ μεμνημένοι ἔτι, κατα-
γελῶντες δὲ τῶν οἰομένων ταῦτα [θαυμαστὰ] εἶναι.
8. *ΛΥΚ.* νὴ τὸν Ἡρακλέα, ὦ Ἑρμότιμε, τὸν ἐν Οἴτῃ

δρείαν ΕΗΩ. ἀνδρίαν G et v. ἡδονὰς καὶ ὅσα G et v. ἡδο-
νὰς καὶ ὅσαι ΕΗΩ. ἡδονὰς ὅσαι CM, quam lectionem Bekker
minus bene recepit. ταῦτα πάντα GHΩ. πάντα ταῦτα v.
ἀφεὶς G probante Jacobitio. ἀφεῖναι Ω. ἀφῆκεν H. ἀφῆκε v.
ἀνθρώπειον] ἀνθρώπιον H. καθαρόν τε] καθαρὸν δὲ G.
δοξάζουσιν] δοξάοουσιν G. ταῦτα εἶναι GHΩ. ταῦτ' εἶναι
vulgo inepte. si τὶ excidisset, neque cum Heinsio τι ταῦτα εἶναι
neque cum Seagero ταῦτά τι εἶναι sed cum Paulio et G. Her-
manno ταῦτ' εἶναί τι scribendum esset. at bene Lehmannus pro-
nomini tantam vim inesse negavit, quantam horum verborum
gravitas desideret. adde quod Lucianus quum hanc ipsam sen-
tentiam centies repetat, pronomine tamen nusquam utitur, sed
haec bona nunc esse dicit βέβαια nunc (velut in Timone § 12 et
D. Mort. IV, 2) περιπόθητα. sed nostro l. ita scribendum esse
ut ego supplevi: ταῦτα θαυμαστὰ εἶναι omnino docent superiora:
ἃ τοῖς ἄλλοις θαυμαστὰ εἶναι δοκεῖ. de industria enim illud θαυ-
μαστά repetitum est similiter atque § 6 ὅτι βιώσῃ — εἰ βιώσῃ.
Lehmannus h. l. modo ipse quoque recte θαυμαστά modo βέβαια
supplebat, modo quidquam deesse male negabat.

8. ἀνδρεία καὶ εὐδαιμονία pr H, ἀνδρείαν καὶ εὐδαιμονίαν
sec. ἀεὶ αὐτοῦ μένειν] ita conieci. αὐτοὺς μένειν GΩ et v.

ἀνδρεῖα καὶ εὐδαίμονα λέγεις περὶ αὐτῶν. πλὴν ἀλλὰ τόδε μοι εἰπὲ, καὶ κατέρχονταί ποτε ἐκ τῆς ἄκρας, ἢν ἐθελήσωσι, χρησόμενοι τοῖς κάτω, ἃ καταλελοίπασιν, ἢ ἀνάγκη ἅπαξ ἀνελθόντας ἀεὶ αὐτοῦ μένειν καὶ συνεῖναι τῇ ἀρετῇ πλούτου καὶ δόξης καὶ ἡδονῶν καταγελῶντας; ΕΡΜ. οὐ μόνον τοῦτο, ὦ Λυκῖνε· ἀλλ' ὃς ἂν ἀποτελεσθῇ πρὸς ἀρετὴν, οὔτε ὀργῇ οὔτε φόβῳ οὔτ' ἐπιθυμίαις ὁ τοιοῦτος ἂν δουλεύοι οὐδὲ λυποῖτο, οὐδὲ ὅλως πάθος ἔτι τοιοῦτον πάθοι ἄν. ΛΥΚ. καὶ μὴν εἴ γε με δεῖ μηδὲν ὀκνήσαντα εἰπεῖν τἀληθὲς, — ἀλλ' εὐφημεῖν χρὴ οἶμαι, μηδ' ὅσιον εἴη ἐξετάζειν τὰ ὑπὸ τῶν σοφῶν γιγνόμενα. ΕΡΜ. μηδαμῶς, ἀλλ' εἰπὲ ὅ τι καὶ λέγεις. ΛΥΚ. ὅρα, ὦ ἑταῖρε, ὡς ἔγωγε καὶ πάνυ ὀκνῶ. ΕΡΜ. ἀλλὰ μὴ ὄκνει, ὦ γενναῖε, πρός γε μόνον ἐμὲ λέγων. 9. ΛΥΚ. τὰ μὲν τοίνυν ἄλλα, ὦ Ἑρμότιμε,
748 *διηγουμένῳ σοι παρειπόμην καὶ ἐπίστευον * οὕτως ἔχειν, σοφούς τε γίγνεσθαι αὐτοὺς καὶ ἀνδρείους καὶ δικαίους καὶ τἆλλα, καί πως ἐκηλούμην πρὸς τὸν λόγον· ὁπότε*

εἰ

εὐτοὺς μένειν (*ε* sec. in ras.) H. partim recte unus Lehmannus voluerat: *αὐτοῦ μένειν.* at *ἀεί* quod aegre deesse potest, in scriptura H videtnr latere. *αὐτοῦ μένειν* quum alibi legitur tum in Soph. Electr. v. 81, in Arist. Thesmoph. v. 610 et jam in Hom. *β'*, 369. *ὃς ἂν*] *ἂν* om G. *ἀποτεσθῇ* Ω. *οὔτ' ἐπιθυμίαις* v et pr H. *οὔτε ἐπιθυμίαις* G et sec H. *δουλεύοι* Guyetus. *δουλεύοοι* G. *δουλεύῃ* HΩ et v. *δουλεύοιῃ* M. *οὐδὲ λυποῖτο* GΩ. *οὐδ' εἰ λυποῖτο* EHC. *οὐδ' ἂν λυποῖτο* v. *τοιοῦτο* pro *τοιοῦτον* H. *εὐφημεῖν* etiam H, sed *εῖν* in ras. *μηδ'*] *μηδὲ* GΩC. *μὴ δὲ* H. *εἴη*] ita conjeci. *εἰ* Ωd. *ἢ* Ea. *ἢ* GH. *εἶναι* v. ironice loquitur. ‚absit ut liceat philosophorum facta examinare.' G. Hermannus vulgata nixus scribebat: *χρή· οἶμαι δὲ μηδ' ὅσιον εἶναι*, in quibus verbis *γάρ* pro *δέ* exspectes. *ὤρα*] *ὅρα* pr m H.

9. *τἄλλα* v. *τὰ ἄλλα* GHΩ. *σφὰς* GHa. *μόνω*] *μόνῳ* bc. *αὐτοὶ* Cobetus V. L. p. 111 infeliciter. *ἠπίστουν*] ita correxi. *ἔπεστιν* EΩH. *ἐπέστην* v et fortasse G pessime. verum est *ἠπίστουν*, non ut adolescens volueram, *ἐνέστην* (‚repugnare coepi'). nam verbum *ἠπίστουν* solnm ejusmodi est, quod recte opponi possit superioribus: *ἐπίστευον οὕτως ἔχειν.* *πρώην* GHΩ. *πρότερον* v. *καὶ ἄνευ* GHΩ et v. *καὶ* om C solus.

δὲ καὶ πλούτου ἔφησθα καταφρονεῖν σφᾶς καὶ δόξης καὶ ἡδονῶν καὶ μήτε ὀργίζεσθαι μήτε λυπεῖσθαι, πάνυ ἐνταῦθα (μόνω γάρ ἐσμεν) ἠπίστουν, ἀναμνησθεὶς ἃ πρῴην εἶδον ποιοῦντα, βούλει φῶ τίνα; ἢ ἱκανὸν καὶ ἄνευ τοῦ ὀνόματος; ΕΡΜ. μηδαμῶς, ἀλλὰ καὶ τοῦτο εἰπὲ, ὅστις ἦν. ΛΥΚ. διδάσκαλος αὐτὸς οὗτος ὁ σὸς, ἀνὴρ τά τ' ἄλλα αἰδοῦς ἄξιος καὶ γέρων ἤδη ἐς τὸ ὕστατον. ΕΡΜ. τί οὖν δὴ ἐποίει; ΛΥΚ. τὸν ξένον οἶσθα τὸν Ἡρακλεώτην, ὃς ἐκ πολλοῦ συνεφιλοσόφει αὐτῷ μαθητὴς ὢν, τὸν ξανθὸν, τὸν ἐριστικόν; ΕΡΜ. οἶδα ὃν λέγεις· Δίων αὐτῷ τοὔνομα. ΛΥΚ. ἐκεῖνον αὐτὸν, ἐπεὶ τὸν μισθὸν, οἶμαι, μὴ ἀπεδίδου κατὰ καιρὸν, ἀπήγαγε παρὰ τὸν ἄρχοντα ἔναγχος, περιθείς γε αὐτῷ θοἰμάτιον περὶ τὸν τράχηλον καὶ ἐβόα καὶ ὠργίζετο. καὶ εἰ μὴ τῶν συνήθων τινὲς ἐν μέσῳ γενόμενοι * ἀφείλοντο τὸν νεανίσκον ἐκ τῶν χειρῶν αὐτοῦ, εὖ 749
ἴσθι, προσφὺς ἂν ἀπέτραγεν αὐτοῦ τὴν ῥῖνα ὁ γέρων, οὕτως ἠγανάκτει. 10. ΕΡΜ. πονηρὸς γὰρ ἐκεῖνος ἀεὶ καὶ ἀγνώμων, ὦ Λυκῖνε, περὶ τὰς ἀποδόσεις. ἐπεὶ τούς γε ἄλλους, οἷς δανείζει, πολλοὺς ὄντας, οὐδὲν τοιοῦτό

τά τ' ἄλλα v. τά τε ἄλλα GHΩC. ἐς τὸ ὕστατον] ἐς τὸ ἔσχατον Cobetus V. L. p. 241, ἐς τοὔσχατον Dindorfius malebant, ut ipse noster in Hercule § 1: γέρων — ἐς τὸ ἔσχατον. at vero idem dixit Pro Merc. Cond. § 4: ἐν γήρᾳ δὲ ὑστάτῳ, uti latinum est ‚ultima senectus', non tantum ‚senectus extrema'. ἐριστικόν] ἐραστικὸν H. Δίων] pro quolibet nomine, ut saepe apud Sextum E. aliosque philosophos. ἐκεῖνον] ἐκεῖνος Ω. ἐπεὶ] ἐπὶ M et statim ὅτι μὴ pro μή. παρά τὸν EGΩTUV. κατὰ τὸν H. περὶ τὸν edd. vett. ἄρχοντα] αρ (tum lacuna) Ω. ἀφείλοντο] ἀφείλαντο M. εὖ ἴσθι προσφὺς HΩ et v recte. εὖ ἴσθι ἐκεῖνος (lacuna) προσφῦς G, unde Halmius scribebat: εὖ ἴσθι ἐκεῖνος προσφὺς — non sine duplici subjecto ἐκεῖνος et ὁ γέρων. ergo saltem transponere debebat: οὕτως ὁ γέρων —. at optime vulgo opposita ἀφείλοντο τὸν νεανίσκον et ἀπέτραγεν — ὁ γέρων, nec quidquam mutandum. ἐκεῖνος statim sequitur: hinc ille error. ἀπέτραγεν] ἀπέρραγεν Ω. ὁ γέρων οὕτως] ὁ γέρων καὶ οὕτως H.

10. ἐκεῖνος ἀεὶ GHΩM. ἀεὶ ἐκεῖνος v. περὶ] πρὸς M. ἄλλους, οἷς] ἄλλους οὓς H. πω] που vitium Reitzianae. διατέθηκεν d. et κατακαιρὸν a. τί δὲ ἂν H et edd. ante Schmie-

πω διατέθεικεν· ἀποδιδόασι γὰρ αὐτῷ κατὰ καιρὸν τοὺς τόκους. ΛΥΚ. τί δέ, ἂν μὴ ἀποδιδῶσιν, ὦ μακάριε; μέλει τι αὐτῷ καθαρθέντι ἤδη ὑπὸ φιλοσοφίας καὶ μηκέτι τῶν ἐν τῇ Οἴτῃ καταλελειμμένων δεομένῳ; ΕΡΜ. οἴει γὰρ ὅτι ἑαυτοῦ χάριν ἐκεῖνος περὶ τὰ τοιαῦτα ἐσπούδακεν; ἀλλ' ἔστιν αὐτῷ παιδία νεογνά, ὧν κήδεται, μὴ ἐν ἀπορίᾳ καταβιώσωσιν. ΛΥΚ. δέον, ὦ Ἑρμότιμε, ἀναγαγεῖν κἀκεῖνα ἐπὶ τὴν ἀρετήν, ὡς συνευδαιμονοῖεν αὐτῷ πλούτου καταφρονοῦντες. 11. *ΕΡΜ. οὐ σχολή μοι, ὦ Λυκῖνε, περὶ τούτων διαλέγεσθαί σοι· σπεύδω γὰρ ἤδη ἀκροάσασθαι αὐτοῦ, μὴ καὶ λάθω τελέως ἀπολειφθείς. ΛΥΚ. θάρρει, ὠγαθέ· τὸ τήμερον * γὰρ ἐκεχειρία ἐπήγγελται· ὥστε ἐγὼ ἀφίημί σοι ὅσον ἔτι λοιπὸν τῆς ὁδοῦ. ΕΡΜ. πῶς λέγεις; ΛΥΚ. ὅτι ἐν τῷ παρόντι οὐκ ἂν ἴδοις αὐτόν, εἴ γε χρὴ πιστεύειν τῷ προγράμματι· πινάκιον γάρ τι ἐκρέματο ὑπὲρ τοῦ πυλῶνος μεγάλοις γράμμασι λέγον, ‚τήμερον οὐ συμφιλοσοφεῖ.' ἐλέγετο δὲ παρ' Εὐκράτει τῷ πάνυ δειπνήσας χθὲς γενέθλια θυγατρὸς ἑστιῶντι πολλά τε συμφιλοσοφῆσαι ἐν τῷ συμποσίῳ καὶ πρὸς Εὐθύδημον τὸν ἐκ τοῦ Περιπάτου παροξυνθῆναί τι καὶ ἀμφισβητῆσαι αὐτῷ περὶ ὧν ἐκεῖνοι εἰώθασιν ἀντιλέγειν τοῖς ἀπὸ τῆς Στοᾶς. ὑπό τε οὖν τῆς κραυγῆς πονήρως τὴν κεφαλὴν*

---

derum. *τί δαὶ ἂν* EGΩ. *ἀποδίδωσιν* H. *ὦ μακάριε*] *ὦ μ* (lacnna) Ω. *τὸν ἐν τῇ* et mox *καταλελειμμένω* G. *ἀλλ' ἔστιν*] *αλλα ἔστιν* H. *καταβιώσωσιν* G. *καταβιώσωσι* HΩ et v. *αὐτῷ πλούτου* v. *αὐτοῦ πλούτου* EH. *αὖ τοῦ πλούτου* Ω. *αὐτῷ τοῦ πλούτου* G. *καταφρονοῦντες* EGHΩM. *καταφρονοῦντα* v.

11. *ἀκροάσεσθαι* C. *ὠγαθέ. τοτήμερον* et mox *ἐπάγγελται* H. *ἔτι λοιπὸν* H et v. *ἔτι τὸ λοιπὸν* G et fortassis Ω, vitio ex illis *τὸ τήμερον* nato. *πιστεύειν*] *πιστέον* C. *οὐ*] *ὅτι* C. *συμφιλοσοφεῖ*] ita correxi. libri *συμφιλοσοφεῖν*, qui infinitivus *μή* pro *οὐ* negatione poscit. nunc etiam lectionis *ὅτι* origo patet, cujus primus auctor ita scripserat: *λέγον, ὅτι τήμερον οὐ συμφιλοσοφεῖ* (sc. Stoicus magister). *δειπνίσας* G et mox *ἐδεδειπνίκει.* *Εὐθύδημον*] vide quae dixi ad Convivium § 6. *εἰώθασ* (sine nota ʌ) H. *ὑπό τε οὖν* GHΩTUV et fortasse CM. *ὑπό τε αὖ* edd. vett. *ἀποταθείσας* G. *καὶ ἐπεπώκει*

διατεθῆναι καὶ ἱδρῶσαι μάλα πολλὰ ἐς μέσας νύκτας
ἀποταθείσης, ὥς φασι, τῆς συνουσίας. ἅμα δὲ καὶ
ἐπεπώκει, οἶμαι, πλέον τοῦ ἱκανοῦ, τῶν παρόντων ὡς
εἰκὸς φιλοτησίας προπινόντων, καὶ ἐδεδειπνήκει πλείω
ἢ κατὰ γέροντα· ὥστε ἀναστρέψας ἤμεσέ τε, ὡς ἔφασκον,
πολλὰ καὶ μόνον ἀριθμῷ παραλαβὼν τὰ κρέα, ὁπόσα
τῷ παιδὶ κατόπιν ἑστῶτι παραδεδώκει καὶ σημηνάμενος
ἐπιμελῶς, τὸ ἀπ' ἐκείνου καθεύδει, μηδένα * εἰσδέχε- 751
σθαι παραγγείλας. ταῦτα δὲ Μίδα ἤκουσα τοῦ οἰκέτου
αὐτοῦ διηγουμένου τισὶ τῶν μαθητῶν, οἳ καὶ αὐτοὶ
ἀνέστρεφον μάλα πολλοί. 12. ΕΡΜ. ἐκράτησε δὲ πότε-
ρος, ὦ Λυκῖνε, ὁ διδάσκαλος ἢ ὁ Εὐθύδημος; εἴ τι
καὶ τοιοῦτον ἔλεγεν ὁ Μίδας. ΛΥΚ. τὰ μὲν πρῶτά
φασιν, ὦ Ἑρμότιμε, ἀγχώμαλα σφίσι γενέσθαι· τὸ δ'
οὖν τέλος τῆς νίκης καθ' ὑμᾶς ἐγένετο καὶ παρὰ πολὺ
ὁ πρεσβύτης ὑπερέσχε. τὸν γοῦν Εὐθύδημον οὐδ' ἀναι-
μωτὶ φασιν ἀπελθεῖν, ἀλλὰ τραῦμα παμμέγεθες ἔχοντα
ἐν τῇ κεφαλῇ. ἐπεὶ γὰρ ἀλαζὼν ἦν καὶ ἐλεγκτικὸς καὶ
πείθεσθαι οὐκ ἤθελεν οὐδὲ παρεῖχε ῥᾴδιον αὑτὸν ἐλέγχε-
σθαι, ὁ διδάσκαλός σου ὁ βέλτιστος, ὡς εἶχε, σκύφον

---

edd. vett. καὶ πεπώκει EGHΩa. καὶ πέπωκε TUV. hinc forsitan κἀπεπώκει cum crasi legendum sit. οἶμαι om H. πλέον τοῦ καὶ ἱκανοῦ H. πλείω ἢ GHΩ recte. πλέον ἢ v (scil. e superioribus). καὶ μόνον] καὶ πόνον Ω. ἀριθμῷ GHΩ et v. ἀριθμὸν a. ἀριθμῷ est ‚certo definitoque numero', et ἀριθμῷ παραλαμβάνειν ‚numerata accipere', dictione attica. vide D. Meretr. IX, 2 med. et Dionysium comicum ap. Athen. IX p. 381, d (v. 6): ἀριθμῷ διδόασι τὰ κρέα. plura hujusmodi conlecta sunt ab Valckenaerio ad Herodot. VI, 58 et Dobraeo in Advers. I p. 109. παραδεδώκει libri, sed malim cum Dindorfio παρεδεδώκει, ut est in Basileensi tertia. μίδα G recte. Μίδου HΩ et v.

12 εἴ τι καὶ] ἤ τι καὶ (και H) HΩ. παρὰ πολὺ GΩ. περὶ πολὺ H. παραπολὺ v. αναιμοτὶ pr et αναιμωτὶ sec H. ἀναιμωτεὶ E et fortassis Ω. αὑτόν Graevius. αὐτόν GH edd. vett. libri ὃν εἶχε. at ne dicam post τινα demum verba ὃν εἶχε locanda fuisse atque adeo ὃν et τινα pronomina inter se videri pugnare: in tali l. attice dicendum est ὡς εἶχε, ut ego supra rescripsi. nostrates ‚wie er so war', ‚ut erat', scil. scyphum manu

*Νεστόρειόν τινα καταφέρει αὐτοῦ πλησίον κατακειμένου,
καὶ οὕτως ἐκράτησεν.* ΕΡΜ. *εὖ γε· οὐ γὰρ ἄλλως ἐχρῆν
πρὸς τοὺς μὴ ἐθέλοντας εἴκειν τοῖς κρείττοσιν.* ΛΥΚ.
*ταυτὶ μὲν, ὦ Ἑρμότιμε, πάνυ εὔλογα. ἢ τί γὰρ παθὼν
Εὐθύδημος ἄνδρα γέροντα παρώξυνεν, ἀόργητον καὶ
θυμοῦ κρείττονα, σκύφον οὕτω βαρὺν ἐν τῇ χειρὶ*
752 *ἔχοντα;* * 13. *ἀλλὰ σχολὴν γὰρ ἄγομεν, τί οὐ διηγῇ
μοι ἑταίρῳ ὄντι, ὃν τρόπον ὡρμήθης τὸ πρῶτον φιλο-
σοφεῖν, ὡς καὶ αὐτὸς, εἰ δυνατὸν ἔτι, συνοδοιποροίην
ὑμῖν τὸ ἀπὸ τοῦδε ἀρξάμενος. οὐ γὰρ ἀποκλείσετέ με
δηλαδὴ φίλοι ὄντες.* ΕΡΜ. *εἰ γὰρ ἐθελήσειας, ὦ Λυ-
κῖνε. ὄψει ἐν βραχεῖ, ὅσον διοίσεις τῶν ἄλλων· παῖδας
εὖ ἴσθι οἰήσῃ ἅπαντας ὡς πρὸς σὲ, τοσοῦτον ὑπερφρο-
νήσεις αὐτός.* ΛΥΚ. *ἱκανὸν, εἰ μετὰ εἴκοσιν ἔτη γενοί-
μην τοιοῦτος, οἷος σὺ νῦν.* ΕΡΜ. *ἀμέλει καὶ αὐτὸς
κατὰ σὲ γεγονὼς ἠρξάμην φιλοσοφεῖν, τετταρακοντούτης
σχεδὸν, ὁπόσα, οἶμαι, σὺ νῦν γέγονας.* ΛΥΚ. *τοσαῦτα
γὰρ, ὦ Ἑρμότιμε. ὥστε τὴν αὐτὴν ἄγε λαβὼν κἀμὲ,
δίκαιον γάρ. καὶ πρῶτόν γέ μοι τοῦτο εἰπὲ, δίδοτε*

---

tenebat. vide vel Necyomant. § 7 fin. *σκῦφον* hic et paullo post G. *εὖ γε*] *εἶγε* H. D. Meretr. IX, 2: *εὖ γε, ὦ Δορκὰς, οὕτως ἐχρῆν.* *πρὸς τοὺς μὴ* (*μη* H) HΩ et v. *τοὺς* om G. *εἴκειν*] *ἥκειν* Ω. *κρείττοσιν* G. *κρείττοσι* HΩ et v. *σκύφον*] *σκῦφον* GH.

13. *μοι* HΩ et v. om G solus. *δυνατὸν ἔτι, συνοδ.* cum Graevio EHΩTUVY. *δυνατόν ἐστι, συνοδ.* G. *δυνατὸν, ἐπισυν-οδοιποροίην* edd. vett. *ὑμῖν*] *ἡμῖν* a. *ὄψει*] quum *εἰ γὰρ* sit optantis, asyndeton non ferendum ita tollo, ut conjiciam: *ὄψει γὰρ —.* libri *ὑπερφρονήσεις αὐτός.* at *αὐτός* h. l. pro nihilo est. corrige: *ὑπερφρονήσεις αὐτούς*, i. e. ‚tantopere eos (sc. *τοὺς ἄλλους*) sapientia superabis‘, uti Gesner bene transtulit. *εἴκοσιν* HΩ et v. *εἴκοσι* G. . *κ*. *α*. *γενοίμην* G et v. *γενέσθαι* HΩ, quasi olim lectum esset: *γενέσθαι* [*δυναίμην*]. *τετταρακοντὴς* G. *ὁπόσα — γέγονας*] paullo ante *Δὶς Κατηγορούμενος* scriptus est, in quo dialogo § 32 ipse Lucianus: *καλῶς εἶχέ μοι*, inquit, *ἀνδρὶ ἤδη τετταράκοντα ἔτη σχεδὸν γεγονότι —.* quumque noster a. 119 vel 120 p. Ch. natus esse videatur: Bis Accusatus circiter in a. 159 et Hermotimus in. a. 160 incidere putandus est. ita ambo dialogi circa illud maxime tempus editi sunt, quo tem-

ἀντιλέγειν τοῖς μανθάνουσιν, ἤν τι μὴ ὀρθῶς λέγεσθαι δοκῇ αὐτοῖς, ἢ οὐκ ἐφίετε τοῦτο τοῖς νεωτέροις; ΕΡΜ. οὐ πάνυ. σὺ δέ, ἤν τι βούλῃ, ἐρώτα μεταξὺ καὶ ἀντίλεγε· ῥᾷον γὰρ ἂν οὕτω μάθοις. ΛΥΚ. εὖγε, νὴ τὸν Ἑρμῆν, [ὦ Ἑρμότιμε,] αὐτόν, οὗ ἐπώνυμος ὢν τυγχάνεις. * 14. ἀτὰρ εἰπέ μοι, μία τις ὁδός ἐστιν ἡ ἐπὶ 753
φιλοσοφίαν ἄγουσα, ἡ τῶν Στωϊκῶν ὑμῶν, ἢ ἀληθῆ ἐγὼ ἤκουον, ὡς καὶ ἄλλοι πολλοί τινές εἰσιν; ΕΡΜ. μάλα πολλοί, Περιπατητικοὶ καὶ Ἐπικούρειοι καὶ οἱ τὸν Πλάτωνα ἐπιγραφόμενοι, καὶ αὖ Διογένους ἄλλοι τινὲς καὶ Ἀντισθένους ζηλωταὶ καὶ οἱ ἀπὸ τοῦ Πυθαγόρου καὶ ἔτι πλείους. ΛΥΚ. ἀληθῆ ταῦτα, πολλοὶ γάρ εἰσι. πότερον δή, ὦ Ἑρμότιμε, τὰ αὐτὰ οὗτοι λέγουσιν ἢ διάφορα; ΕΡΜ. καὶ πάνυ διάφορα. ΛΥΚ. τὸ δέ γε ἀληθὲς οἶμαι πάντως που ἓν εἶναι αὐτῶν, ἀλλ' οὐ πάντα διάφορά γε ὄντα. ΕΡΜ. πάνυ μὲν οὖν.
15. ΛΥΚ. ἴθι δή, ὦ φιλότης, ἀπόκριναί μοι, τῷ τότε πιστεύσας, ὁπότε τὸ πρῶτον ᾔεις φιλοσοφήσων, πολλῶν

---

pore Marcus Antoninus Pio successit. διδοτε] διδοται H. δοκῇ HΩ et v. δοκεῖ G. ἐφίετε Ω et v. ἐφίεται GH. βούλῃ Ω et v. βούλει GHC. ἂν add. CΩ. om GH et v. μάθοις Gpm cum Guyeto. μάθῃς HΩG sec m et v. ῥᾷον γὰρ οὕτω μαθήσῃ Struvius L. L. p. 238. magis Lucianeum est alterum. vide vel Imagines § 3: τάχα γὰρ ἂν οὕτω γνωρίσαιμι. ὦ Ἑρμότιμε] haec verba sic transponebam: εὖγε ὦ Ἑρμότιμε νὴ —. certe aut hoc probandum est aut Cobeti ratio haec eadem ὦ Ἑρμότιμε plane delentis in V. L. p. 296.

14. μία τις GHΩ et v. τις μία CM. ἢ ἐπὶ H. ὑμῶν] ἡμῶν H. ἄλλοι πολλοὶ GH et v. οἱ ἄλλοι πολλοὶ Ω. ἄλλαι πολλαὶ C. εἰσιν GΩ. εἰσι H et v. ἐπικούριοι EGHΩ et E ita semper. τὸν Πλάτωνα] τὸν om G. που] ποῦ G. libri ἓν ἦν αὐτῶν imperfecto absurdo. correxi: ἓν εἶναι αὐτῶν. vide infra § 66 med: εἰκὸς μὲν οὖν καὶ τούτων ἕν τι εἶναι τὸ εὔδαιμον. ἀλλ' οὐ πάντα διαφορά γε ὄντα. ἑρμ. πάνυ HΩ et v. ἑρμ. ἀλλ' οὐ πάντα γε διάφορα ὄντα. λυκ. πάνυ G.

15. ΛΥΚ. om G. τῷ τότε G. τῷ πότε HΩ. τῷ ποτε v. ὁπότε τὸ πρῶτον ᾔεις] ita correxi. τὸ πρῶτον ὁπότε εἴῃς G. τὸ πρῶτον οὐ ὁπότε ᾔεις HΩ et v. et σύ quidem quod paullo post insequitur, semel delendum esse jam Gesner perspexit.

*σοι θυρῶν ἀναπεπταμένων, παρεὶς σὺ τὰς ἄλλας εἰς
τὴν τῶν Στωϊκῶν ἧκες καὶ δι' ἐκείνης ἠξίους ἐπὶ τὴν
ἀρετὴν εἰσιέναι, ὡς δὴ μόνης ἀληθοῦς οὔσης καὶ τὴν
εὐθεῖαν ἐπιδεικνυούσης, τῶν δ' ἄλλων εἰς τυφλὰ καὶ
ἀνέξοδα φερουσῶν; τίνι ταῦτ' ἐτεκμαίρου τότε; καὶ μή
μοι τὸν νῦν δὴ τοῦτον σεαυτὸν ἐννόει, τὸν εἴτε ἡμί-
σοφον εἴτε σοφὸν ἤδη τὰ βελτίω κρίνειν ὑπὲρ τοὺς*
754 *πολλοὺς ἡμᾶς * δυνάμενον· ἀλλ' οὕτως ἀπόκριναι,
ὁποῖος τότε ἦσθα ἰδιώτης καὶ κατὰ τὸν νῦν ἐμέ. ΕΡΜ.
οὐ συνίημι ὅ τι σοι τοῦτο βούλεται, ὦ Λυκῖνε. ΛΥΚ.
καὶ μὴν οὐ πάνυ ἀγκύλον ἠρόμην. πολλῶν γὰρ ὄντων
φιλοσόφων, οἷον Πλάτωνος καὶ Ἀριστοτέλους καὶ Ἀντι-
σθένους καὶ τῶν ὑμετέρων προγόνων, τοῦ Χρυσίππου
καὶ Ζήνωνος καὶ τῶν ἄλλων, ὅσοι εἰσί, τῷ σὺ πιστεύσας
τοὺς μὲν ἄλλους εἴας, ἐξ ἁπάντων δὲ προελόμενος ἅπερ
προῄρησαι, ἠξίους κατὰ ταῦτα φιλοσοφεῖν; ἆρα καὶ σὲ
ὥσπερ τὸν Χαιρεφῶντα ὁ Πύθιος ἐξέπεμψεν ἐπὶ τὰ*

---

praeterea ego usus sum transpositione. vide pauca de multis, Philetaerum ap. Athen. XIII p. 587, e (v. 3): *ὅτε τὸ πρῶτον ἐγένετο* et Axionicum ap. Athen. VI p. 239 f: *ὅτε τοῦ παρασιτεῖν πρῶτον ἠράσθην.* confer etiam nostrum supra § 13 init. *τῶν δ' ἄλλων* G et v. *τῶν δὲ ἄλλων* HΩ. *ταῦτ'*] *ταῦτα* GH. *ἐτεκμαίρου* GHΩ et v. *ἐτεκμήρω* CM. *τὸν νῦν δὴ*] *δὲ* pro *δὴ* vitinm Reitzianae. *σοφὸν ἤδη* libri. malim vero: *σοφὸν καὶ ἤδη* —. *ἀλλ' οὕτως*] *ἀλλὰ οὕτως* GHΩ. *τότε* HΩ et v. *πότε* G. *ἰδιώτης καὶ*] *ἰδιώτης ἔτι καὶ* (*ἔτι* in litura) G. *ἰδιώτης καὶ* (at *της* in litura) H. *τὸν νῦν*] *τὸ νῦν* G. *ἀγκύλον* GΩ et v. *ἀγκύλα* H. *ὑμετέρων* etiam H sed *υ* in rasura. *εἴας* libri verissime. Cobetus V. L. p. 241 *εἴασας*, quod est ineptum. libri *ἀξιοῖς κατὰ ταῦτα* (*καταταῦτα* G). at opus est imperfecto. itaque correxi: *ἠξίους.* vide supra § 15 init: *δι' ἐκείνης ἠξίους ἐπὶ τὴν ἀρετὴν εἰσιέναι*; et utroque l. de eadem re agitur. *ἆρα*] *ἄρα* H. *προσειπὼν* GHΩC cum Solano. *προειπών* E et v. uti Solanus conjecit, ita plane est in Rhet. Praec. § 13: *μῶν σε ὦγαθὲ ὁ Πύθιος ἔπεμψεν* (sic) *ἐπ' ἐμὲ ῥητόρων τὸν ἄριστον προσειπών, ὥσπερ ὅτε Χαιρεφῶν ἤρετο αὐτόν* —; *ἄλλον ἐπ' ἄλλο* (*ἄλλω* H) *εἶδος* HΩ et v. *ἄλλον ἐξ ἁπάντων εἶδος* G, errore e superioribus. *ᾠου* HΩ et v. *ὧν* G. *κατασαυτὸν* G. *ΕΡΜ.*] pro persona H habet: ut saepe.

Στωϊκῶν, ἀρίστους ἐξ ἁπάντων προσειπών; ἔθος γὰρ αὐτῷ ἄλλον ἐπ' ἄλλο εἶδος φιλοσοφίας προτρέπειν, τὴν ἁρμόττουσαν οἶμαι ἑκάστῳ εἰδότι. ΕΡΜ. ἀλλ' οὐδὲν τοιοῦτον, ὦ Λυκῖνε, οὐδὲ ἠρόμην περί γε τούτων τὸν θεόν. ΛΥΚ. πότερον οὐκ ἄξιον θείας συμβουλίας ἡγούμενος αὐτὸ ἢ ἱκανὸς ᾤου αὐτὸς εἶναι ἑλέσθαι τὸ βέλτιον κατὰ σαυτὸν ἄνευ τοῦ θεοῦ; ΕΡΜ. ᾤμην γάρ. 16. ΛΥΚ. οὐκοῦν καὶ ἡμᾶς διδάσκοις ἂν τοῦτο πρῶτον, ὅπως διαγνωστέον ἡμῖν εὐθὺς ἐν ἀρχῇ, τίς ἡ ἀρίστη φιλοσοφία ἐστὶ καὶ ἡ ἀληθεύουσα, καὶ ἣν ἄν τις ἕλοιτο παρεὶς τὰς ἄλλας. ΕΡΜ. ἐγώ σοι φράσω. ἑώρων τοὺς πλείστους ἐπ' αὐτὴν ὁρμῶντας, ὥστε εἴκαζον ἀμείνω εἶναι αὐτήν. ΛΥΚ. πόσῳ τινὶ πλείους * τῶν 755
Ἐπικουρείων ἢ Πλατωνικῶν ἢ Περιπατητικῶν; ἠρίθμησας γὰρ δηλαδὴ αὐτοὺς καθάπερ ἐν ταῖς χειροτονίαις. ΕΡΜ. ἀλλ' οὐκ ἠρίθμησα ἔγωγε, εἴκαζον δέ. ΛΥΚ. ὡς οὐκ ἐθέλεις διδάξαι με, ἀλλ' ἐξαπατᾷς, ὅς περὶ τῶν τοιούτων εἰκασμῷ φὴς καὶ πλήθει κρῖναι, ἀποκρυπτόμενος λέγειν πρός με τἀληθές. ΕΡΜ. οὐ μόνον τοῦτο, ὦ Λυκῖνε, ἀλλὰ καὶ ἤκουον ἁπάντων λεγόντων, ὡς οἱ μὲν Ἐπικούρειοι γλυκύθυμοι καὶ φιλήδονοί εἰσιν, οἱ Περιπατητικοὶ δὲ φιλόπλουτοι καὶ ἐριστικοί τινες, οἱ Πλατωνικοὶ δὲ τετύφωνται καὶ φιλόδοξοί εἰσι. περὶ δὲ τῶν Στωϊκῶν πολλοὶ ἔφασκον, ὅτι ἀνδρώδεις καὶ πάντα γιγνώσκουσι, καὶ ὅτι ὁ ταύτην ἰὼν τὴν ὁδὸν μόνος βασιλεύς, μόνος πλούσιος, μόνος σοφὸς καὶ συνόλως

16. διδάσκοις ἂν GHΩCM. ἂν διδάσκοις v. τοῦτο om G solus. εὐθὺς ἡ ἀρχὴ G. ὁρμῶντας] ὁρμῶν (μων in rasura) H. πόσω τίνι H. πόσω καὶ τίνι G. ἐπικουρίων GHΩ. δηλαδὴ αὐτοὺς (δηλαδή. αὐτοὺς H) GHΩ. αὐτοὺς δηλαδὴ v. ἀλλ' ἐξαπατᾷς H et v. ἀλλὰ ἐξαπατᾷς GΩ. εἰκασμῶν a. κρίναι GH. ἐπικούριοι G. εἰσιν, οἱ Περιπατ. G et v. εἰσι· περιπατ. HΩ et εἰσι etiam a. δὲ φιλόπλουτοι GHΩ, ut ego conjeceram in Quaestt. L. p. 160. δὲ καὶ φιλόπλουτοι v. εἰσι] εἰσιν G. οἱ Πλ. δ. τετύφωνται] Diogenes cynicus ap. Diogenem L. VI, 2, 26: πατῶ τὸν Πλάτωνος τῦφον. γιγνώσκουσι Ω et v. γιγνώσκουσιν H. γινώσκουσιν Ga.

ἅπαντα. 17. ΛΥΚ. ἔλεγον δὲ ταῦτα πρός σε ἄλλοι
δηλαδὴ περὶ αὐτῶν· οὐ γὰρ δὴ ἐκείνοις ἂν αὐτοῖς ἐπί-
στευσας ἐπαινοῦσι τὰ αὑτῶν. ΕΡΜ. οὐδαμῶς, ἀλλ᾽ οἱ
ἄλλοι ἔλεγον. ΛΥΚ. οἱ μὲν δὴ ἀντίδοξοι οὐκ ἔλεγον,
ὡς τὸ εἰκός. ΕΡΜ. οὐ γάρ. ΛΥΚ. οἱ δ᾽ ἄρα ἰδιῶται
ταῦτα ἔλεγον. ΕΡΜ. καὶ μάλα. ΛΥΚ. ὁρᾷς, ὅπως
αὖθις ἐξαπατᾷς με καὶ οὐ λέγεις τἀληθές, ἀλλ᾽ οἴει
756 Μαργίτῃ διαλέγεσθαί * τινι, ὡς πιστεῦσαι ὅτι Ἑρμότι-
μος, συνετὸς ἀνὴρ, ἔτη τότε γεγονὼς τετταράκοντα
περὶ φιλοσοφίας καὶ φιλοσόφων ἀνδρῶν τοῖς ἰδιώταις
ἐπίστευε καὶ κατὰ τὰ ὑπ᾽ ἐκείνων λεγόμενα ἐποιεῖτο
τὴν αἵρεσιν τῶν κρειττόνων· οὐ γὰρ ἀξιῶ πιστεῦσαί σοι

---

17. *πρός σε* Bekker pro *πρὸς σὲ* —. *ἂν* bis G. *αὐτῶν* Belinus pro *αὑτῶν*. *ἀλλ᾽ οἱ*] *ἀλλὰ οἱ* GHΩ. *ΛΥΚ.* om ante *οἱ* et ponit ante *οὗτοι* G. post *ὡς τὸ εἰκός.* libri (etiam EGHΩ): *οὗτοι δὲ ἦσαν οἱ τὰ ἄλλα φιλοσοφοῦντες.* quae verba Solanus summo jure delevit ut scholium vocis *οἱ ἀντίδοξοι.* nam Lucianus ita certe scripsisset: *οὗτοι δὲ ἦσαν οἱ μὴ κατὰ ταὐτὰ φιλοσοφοῦντες.* vide quae ad Symposium § 39 collegimus. *οὐ γάρ;* G. *δ᾽ ἄρα*] *δ᾽ ἂρ* G i. e. *δ᾽ ἄρ᾽* —. *ὁρᾷς ὅπως αὖθις*] *ὁρᾷς ὅτι εἰς αὖθις* H. *με* om G. *ἀλλὰ σὺ εἰ* (*οἴει* H) GHΩ. *συνετὸς ἀνὴρ* G. *συνετὸς* (omisso *ἀνήρ*) EHΩ. *ἀνὴρ συνετός* v. *τετταράκοντα* Jacobitius pro *τεσσαράκοντα.* *ἐπίστευε*] ita correxi (vide § 18 init: *ἐπίστευον*). *ἐπίστευσε* H et v. *ἐπίστευσεν* GΩ. *τὴν αἵρεσιν καὶ τῶν κρειττόνων* HΩ et v. *τὴν αἵρεσιν τῶν κρειττόνοιν* G, ut ipse in Quaestt. L. p. 161 conjeceram adtuleramque infra § 56: *πρὸς τὴν αἵρεσιν τῶν κρειττόνων.* post *κρειττόνων* libri: *ἀξιῶν. οὐ γὰρ πιστεῦσαί σοι* (*πιστεῦσαί τι* G). ita GHΩCM. *ἀξιῶν. οὐ γὰρ πιστεύσαιμί σοι* vulgo. correxi nunc equidem: *οὐ γὰρ ἀξιῶ πιστεῦσαί σοι* —. vide infra § 33 init: *ἀξιοῖ — πιστεύειν* et postea § 53: *οὔτε — πιστεύειν ἀξιοῖς* —. adde Aeschyl. Prometh. v. 217 et Arist. Equit. v. 182. *οὐκ ἀξιῶ* simile est illi *οὔ φημι*, sed dicitur lenius. olim in Quaestt. p. 161 scribi volueram: *οὐ γὰρ ἄξιον πιστεῦσαί σοι* —. longe aliter Struvius in L. L. p. 238: *καὶ τῶν κρειττόνων ἀξίωσιν. οὐ γὰρ πιστεύσαιμι*, G. Hermannus: *τὴν αἵρεσιν, ὡς τῶν κρειττόνων ἀξιῶν. οὐ γὰρ πιστεύσαιμι* —, Halmius: *αἵρεσιν τῶν κρειττόνων ἀξιῶν. οὐ γὰρ ἂν πιστεύσαιμι* —, denique J. Bekker: *αἵρεσιν τῶν κρειττόνων. ἄξιον, οὐ γάρ; πιστεῦσαι* —, quae hic refutare nihil adtinet. videsis, quae ad Lysiam 12 § 63 diximus.

τοιαῦτα λέγοντι. 18. *ΕΡΜ.* ἀλλ' οἶσθα, ὦ Λυκῖνε, οὐχὶ τοῖς ἄλλοις μόνον ἐπίστευον, ἀλλὰ καὶ ἐμαυτῷ. ἑώρων γὰρ αὐτοὺς κοσμίως βαδίζοντας, ἀναβεβλημένους εὐσταλῶς, φροντίζοντας ἀεί, ἀρρενωποὺς, ἐν χρῷ κουρίας τοὺς πλείστους, οὐδὲν ἁβρὸν οὐδ' αὖ πάνυ ἐς τὸ ἀδιάφορον ὑπερεκπῖπτον, ὡς ἔμπληκτον εἶναι καὶ κυνικὸν ἀτεχνῶς, ἀλλ' ἐπὶ τοῦ μέσου καταστήματος, ὃ δὴ ἄριστον ἅπαντες εἶναι φασίν. *ΛΥΚ.* ἆρ' οὖν κἀκεῖνα εἶδες ποιοῦντας αὐτοὺς, ἃ μικρῷ πρόσθεν ἔλεγον αὐτὸς ἑωρακέναι τὸν σὸν διδάσκαλον, ὦ Ἑρμότιμε, πράττοντα; οἷον δανείζοντας καὶ ἀπαιτοῦντας πικρῶς καὶ φιλονείκως πάνυ ἐρίζοντας ἐν ταῖς ξυνουσίαις καὶ τἆλλα ὅσα ἐπιδείκνυνται; ἢ τούτων ὀλίγον σοι μέλει, ἄχρι ἂν εὐστα-

18. οἶσθα ὦ Λυκῖνε] nihil mutandum esse, sed οἶσθα prorsus ut ὡς οἶσθα (et quemadmodum bene Heindorfius ad Plat. Gorg. p. 486, b, magis attice: οἶσθ' ὅτι) recte interponi in Quaestt. L. p. 157 observavi comparato etiam l. De Merc. Cond. § 19. nempe haec nostra ad § 15 fin: ἱκανὸς ᾤου — ᾤμην γάρ optime referuntur, ut conjecturae Solani: εὖ ἴσθι ὦ Λ. et Bekkeri: ἴσθι ὦ Λ. in rem vix cadant. denique v. εὖ ἴσθι ut Solanus accepit, anonymus usurpat in Demosth. Encom. § 22, non item Lucianus, qui ita loqui in enuntiato solet conditionali, velut in Lexiph. § 11, ibid. § 16, Conviv. § 45, Saturnal. 19, ibid. § 20, ibid. § 29. οὐδὲν ἁβρὸν] fuit quum supplerem: οὐδέν ἁβρὸν [ἐμφαίνοντας], cujusmodi Lucianea ad Alexandr. § 3 multa conlegi. at nihil addendum esse proxima verba: ἀλλ' ἐπὶ τοῦ μέσου καταστήματος docere videntur. διάφορον G. ὑπερεκπῖπτον H et fortassis Ω. ὑπὲρ ἐκπίπτον G. ὑπερεκπίπτον v. libri ἔκπληκτον mendose. nullus editorum ne memoravit quidem emendationem Marklandi ad Max. Tyr. XI, 6 p. 200: ἔμπληκτον, quae uni Hemsterhusio in Anecd. p. (58) jure probata est. ipse enim Marklandus recte: „ἔμπληκτος, inquit, est ‚insanus, furibundus': ἔκπληκτος ‚terrefactus, adtonitus". de cynico autem (prorsus ut nostro l.) ponitur etiam De Mort. Peregr. § 38: ἐμπλήκτως καὶ ἀπονενοημένως. infra ad § 55 in scholio antiquo ἐμπληξία est ‚insania'. adde Lobecki copias ad Soph. Ajac. v. 1345 p. 414 ed. pr. (p. 478 ed. sec.). postremo in Arist. Plut. v. 242 et 245 παραπλὴξ et μέτριος simillime oppositi sunt. φασίν.] φασι; a. πάνυ] πάντη G. τἆλλα v. τά ἄλλα GHΩ. ἄχρι Jacobitius pro ἄχρις (ἄχρις GHΩ). libri εὐσταλὴς ἢ —. quod olim con-

757 *λὴς ἢ ἡ ἀναβολὴ καὶ * ὁ πώγων βαθὺς καὶ ἐν χρῷ ἡ κουρά; καὶ πρὸς τὸ λοιπὸν ἄρα ἔχωμεν τουτονὶ κανόνα καὶ στάθμην ἀκριβῆ τῶν τοιούτων, ὡς Ἑρμότιμός φησι, καὶ χρὴ ἀπὸ σχημάτων καὶ βαδισμάτων καὶ κουρᾶς διαγιγνώσκειν τοὺς ἀρίστους· ὃς δ' ἂν μὴ ἔχῃ ταῦτα μηδὲ σκυθρωπὸς ᾖ καὶ φροντιστικὸς τὸ πρόσωπον, ἀποδοκιμαστέος καὶ ἀποβλητέος; 19. ἀλλ' ὅρα μὴ καὶ ταῦτα, ὦ Ἑρμότιμε, παίζεις πρός με πειρώμενος, εἰ ἐξαπατώμενος συνίημι. ΕΡΜ. διὰ τί τοῦτ' ἔφησθα; ΛΥΚ. ὅτι, ὦγαθέ, ἀνδριάντων ταύτην ἐξέτασιν λέγεις, τὴν ἀπὸ τῶν σχημάτων. παρὰ πολὺ γοῦν ἐκεῖνοι εὐσχημονέστεροι καὶ τὰς ἀναβολὰς κοσμιώτεροι, Φειδίου τινὸς ἢ Ἀλκαμένους ἢ Μύρωνος πρὸς τὸ εὐμορφότατον εἰκάσαντος. εἰ δὲ καὶ ὅτι μάλιστα χρὴ τεκμαίρεσθαι τοῖς τοιούτοις, τί ἂν πάθοι τις, εἰ τυφλὸς ὢν ἐπιθυμοίη φιλοσοφεῖν; τῷ διαγνῷ τὸν τὴν ἀμείνω προαίρεσιν προῃρημένον, οὔτε σχῆμα οὔτε βάδισμα ὁρᾶν δυνάμενος;*
758 *ΕΡΜ. ἀλλ' ἔμοιγε οὐ πρὸς τυφλοὺς * ὁ λόγος, ὦ Λυκῖνε, οὐδέ μοι μέλει τῶν τοιούτων. ΛΥΚ. ἐχρῆν μέν,*

---

jeceram: *εὐσταλὴς ἢ ἡ* — etiam Bekker et Dindorfius per se correxerunt. *ἔχωμεν* ΗΩ et v. *ἔχομεν* G. *ἕξομεν* M. *ἴωμεν* C. *διαγιγνώσκειν* Ω et v. *διαγινώσκειν* GHa. *ἢ*] *ἢ* (in rasura) H. *εἰ* G.

19. *παίζεις* GΩ et v. *παίζῃς* H cum Dindorfio (ed. Paris.), quo fortasse non opus est. vide Schaeferum in Mel. Crit. p 115. *τοῦτ'*] *τοῦτο* GHΩ. *παρὰ πολὺ* H pro *παραπολύ*. *εἰκάσοντος* G. *τυφλὸς ὢν* EGHΩ. *τυφλὸς ἂν* edd. vett. *τῷ διαγνῷ* GHΩ et v. *τῷ διαγνῶναι* CM. Schaefer quum in Mel. Cr. p. 100 *τῷ διαγνῴη ἂν* male conjecisset, melius postea ad Demosth. I p. 263 scribi voluit *τῷ διαγνοίη ἄν*, quae ad superius: *τί ἂν πάθοι τις* concinnius referuntur. ego licet pluribus modis haec mutari possint, vulgatam teneo. possis praeterea vel: *τῷ διαγνώσεται* (collato infra § 43: *τῷ διαγνώσῃ*, ubi tamen *τί ποιήσεις* praecedit), vel ob lectionem *δυναμένῳ* sic: *τίς διάγνωσις τοῦ τὴν — προῃρημένου — δυναμένῳ*; nam prorsus ita Demosthenes 18, 128 ed. Bekk: *σοὶ δὲ ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς τίς μετουσία; ἢ καλῶν ἢ μὴ τοιούτων τίς διάγνωσις; πόθεν ἢ πῶς ἀξιωθέντι;* caeterum in Cataplo § 22 pro *ἢ τῷ διαγνῷ τις* optimi codd: *ἢ τῷ διάγνωσις* (sic). *δυνάμενος* GH et v. sed

ὦ χρηστέ, κοινόν τι τὸ γνώρισμα εἶναι τῶν οὕτω μεγάλων καὶ ἅπασι χρησίμων. πλὴν εἰ δοκεῖ, οἱ μὲν ἔξω ἡμῖν φιλοσοφίας μενέτωσαν οἱ τυφλοί, ἐπείπερ μηδὲ ὁρῶσι (καίτοι ἀναγκαῖον ἦν τοῖς τοιούτοις μάλιστα φιλοσοφεῖν, ὡς μὴ πάνυ ἄχθοιντο ἐπὶ τῇ συμφορᾷ.) οἱ δὲ δὴ βλέποντες, κἂν πάνυ ὀξυδερκεῖς ὦσι, τί ἂν δύναιντο συνιδεῖν τῶν τῆς ψυχῆς ἀπό γε τῆς ἔξωθεν ταύτης περιβολῆς; 20. ὃ δὲ βούλομαι εἰπεῖν, τοιόνδε ἐστίν. οὐχὶ τῷ τῆς γνώμης τῶν ἀνδρῶν ἔρωτι προσῄεις αὐτοῖς καὶ ἠξίους ἀμείνων γίγνεσθαι ἐς τὰ τῆς γνώμης; *ΕΡΜ.* καὶ μάλα. *ΛΥΚ.* πῶς οὖν οἷόν τέ σοι ἦν, ἀφ' ὧν ἔφησθα ἐκείνων τῶν γνωρισμάτων διορᾶν τὸν ὀρθῶς φιλοσοφοῦντα ἢ μή; οὐ γὰρ φιλεῖ τὰ τοιαῦτα οὕτω διαφαίνεσθαι, ἀλλ' ἔστιν ἀπόρρητα καὶ ἐν ἀφανεῖ κείμενα, λόγοις καὶ συνουσίαις ἀναδεικνύμενα καὶ ἔργοις τοῖς ὁμοίοις ὀψὲ μόλις. ὁ γοῦν Μῶμος, ἀκήκοας, οἶμαι, ἅτινα ᾐτιάσατο τοῦ Ἡφαίστου, εἰ δὲ μή, ἀλλὰ νῦν ἄκουε. φησὶ γὰρ ὁ μῦθος * ἐρίσαι Ἀθηνᾶν καὶ 759

δυναμένῳ ΕΩ diserte. ἀλλ'] ἀλλὰ G. οὐδέ μοι] οὐδ' ἐμοὶ GH. τῶν τοιούτων] τούτων a. μεγάλων GHΩ et v. δοκίμων C solus. πλὴν εἰ δοκεῖ GHΩ et v. τι ἂν εἰ δοκεῖ CM (errore e superioribus: τί ἂν πάθοι τις εἰ). καίτοι] καί τι a. ὀξυδορκεῖς G.

20. τοιόνδε] τοιόνδ' G. libri οὐχ ὅτι τῆς γνώμης —. bene saue J. F. Gronovius vertit ‚noune —?', sed et huuc miror istud οὐχ ὅτι tulisse et caeteros inprimisque Solanum, qui pessime: ‚saepissime, inquit, sic apud uostrum collocatur illud οὐκ.' immo atticis οὐχ ὅτι — ἀλλὰ καὶ est ‚uon modo — sed etiam', atque οὐχ ὅτι — ἀλλ' οὐδὲ ‚non modo — sed ne — quidem'. denique solum οὐχ ὅτι ac per se positum significat ‚qnanqnam' et prioribus aduectitur, sicut optime Heindorfius ad Plat Lysin p. 220, a. sed hic quidem οὐχ ὅτι duplici nomine vitiosum est, primum quod ‚nonne?' omuino uusquam significat, deiude quod vox ἔρωτι articnlo carere nequit. patet vero Lucianum ut ego restitui, ita scripsisse: οὐχὶ τῷ τῆς γνώμης —. nam οὐχί atticis saepe est ‚nonne —?', etiam ab initio enuntiati. προσῄεις H et v. προσίεις G. προσείης Ω. ὀξίους G. γίνεσθαι G. γνώμης ἐστὶν καὶ μάλα H. ὁ μῦθος] eadem fabula iu Nigrino § 32 et in Verr. Hist. II, 3. paucis tangitur. uunc vero ut non ipsum

Ποσειδῶνα καὶ Ἥφαιστον εὐτεχνίας πέρι· καὶ τὸν μὲν Ποσειδῶ ταῦρον ἀναπλάσαι, τὴν Ἀθηνᾶν δὲ οἰκίαν ἐπινοῆσαι, ὁ Ἥφαιστος δὲ ἄνθρωπον ἄρα συνεστήσατο. καὶ ἐπείπερ ἐπὶ τὸν Μῶμον ἧκον, ὅνπερ δικαστὴν προείλοντο, θεασάμενος ἐκεῖνος ἑκάστου τὸ ἔργον, τῶν μὲν ἄλλων ἅτινα ᾐτιάσατο περιττὸν ἂν εἴη λέγειν· ἐπὶ τοῦ ἀνθρώπου δὲ τοῦτο ἐμέμψατο, καὶ τὸν ἀρχιτέκτονα ἐπέπληξε τὸν Ἥφαιστον, διότι μὴ καὶ θυρίδας ἐποίησεν αὐτῷ κατὰ τὸ στέρνον, ὡς ἀναπετασθεισῶν γνώριμα γίγνεσθαι ἅπασιν ἃ βουλεύεται καὶ ἐπινοεῖ, καὶ εἰ ψεύδεται ἢ ἀληθεύει. ἐκεῖνος μὲν οὖν ἅτε ἀμβλυώττων

---

fontem Aesopum ita tamen Babrium (quasi Aesopum alterum) adire licet Fab. LIX p. 112 ed. Boiss. male vero Vitruvius De Arch. Praefat. lib. III: ‚Socrates memoratur prudenter doctissimeque dixisse oportuisse hominum pectora fenestrata et aperta esse, uti non occultos haberent sensus sed patentes ad considerandum', ubi bene Schneider T. II p. 157: ‚rectius, inquit, haec Momus, quam Socrates sensisse et dixisse perhibetur'. res enim nunc ex ipso patet Babrio LIX, 11. ac ne id quidem Vitruvio profuerit, quod Socrates in carcere aliquot Aesopi fabulas metro conclusit auctore Platone in Phaedone p. 61, b. metro carent Aesopea vulgaria, in his etiam fabula nostra apud Coraën F. 190, Schneiderum 100 et e cod. Flor. Franciscum de Furia F. 275 p. 113 sq. adsentior autem C. F. Hermanno ad Luc. De Conscr. Hist. c. 33 p. 211, qui Momum deum Aesopi aetate vix antiquiorem putat idque hoc magis, quod in Hesiod. Theog. 214 altera scriptura *Μῶλον* haud contemnenda sit. *ταῦρον ἀναπλάσαι* G probante Halmio. *ταῦρόν τινα ἀναπλάσαι* HΩ et v. vide nunc ipsum Babrium 59, 3: *ποιεῖ μὲν ὁ Ζεὺς — ἄνθρωπον, ἡ δὲ Παλλὰς οἶκον —, ὁ δ' αὖ Ποσειδῶν ταῦρον.* *τὴν ἀθηνᾶν δὲ* H et v. *τὴν ἀθηνᾶν τε* G. *τὴν δὲ ἀθηνᾶν Ω.* *ἐπὶ* om G. *θεσάμενος* pro *θεασάμενος* H et mox *ἀτιάσατο* G. *λέγειν* om G (ab initio paginae). *ἐπὶ δὲ τοῦ ἀνθρώπου* G. *ἐπέπληξε*] *ἐξέπληξε* a. *ἐποίησεν αὐτῷ*] *ἐνεποίησεν αὐτῷ* Cobetus V. L. p. 241 inepte. tu vide de eadem re Babrium 59, 2 sqq: *τίς καλόν τι ποιήσει.* | *ποιεῖ μὲν ὁ Ζεὺς — ἄνθρωπον.* *ὡς ἀναπετασθεισῶν* (*ἀναπεταθεισῶν* Ω) *γν. γ.*] Tacitus in Germania c. 22 (de ipsis Germanis): ‚gens non astuta nec callida aperit adhuc secreta pectoris licentia joci. ergo detecta et nuda omnium mens.' *ἅπασιν*] *ἅπασι* H. *βουλεύεται* GΩ. *βούλεται* H et v, quod servare licet conlatis verbis proximis: *ἃ βούλεται καὶ ἃ γιγνώσκει.* at Aesopica alterum

οὕτω περὶ τῶν ἀνθρώπων διενοεῖτο· σὺ δ' ὑπὲρ τὸν Λυγκέα ἡμῖν δέδορκας καὶ ὁρᾷς τὰ ἔνδον, ὡς ἔοικε, διὰ τοῦ στέρνου καὶ ἀνέῳκταί σοι τὰ πάντα, ὡς εἰδέναι μὴ μόνον ἃ βούλεται καὶ ἃ γιγνώσκει ἕκαστος, ἀλλὰ καὶ πότερος ἀμείνων ἢ χείρων. 21. ΕΡΜ. παίζεις, ὦ Λυκῖνε. ἐγὼ δὲ κατὰ θεὸν εἱλόμην, καὶ οὐ μεταμέλει μοι τῆς αἱρέσεως· ἱκανὸν δὲ τοῦτο πρὸς γοῦν ἐμέ. ΛΥΚ. ὅμως * οὐκ ἂν εἴποις, ὦ ἑταῖρε, καὶ πρὸς ἐμὲ, 760
ἀλλὰ περιόψει με παραπολόμενον ἐν τῷ πολλῷ συρφετῷ; ΕΡΜ. οὐδὲν γάρ σοι ἀρέσκει ὧν ἂν εἴπω. ΛΥΚ. οὔκ, ὦγαθὲ ἀλλ' οὐδὲν ἐθέλεις εἰπεῖν ὁποῖον ἄν μοι ἀρέσειεν. ἐπεὶ δ' οὖν σὺ ἑκὼν ἀποκρύπτῃ καὶ φθονεῖς ἡμῖν, ὡς μὴ ἐξ ἴσου γενοίμεθά σοι φιλοσοφήσαντες, ἐγὼ πειράσομαι, ὅπως ἂν οἷός τε ὦ κατ' ἐμαυτὸν ἐξευρεῖν τὴν ἀκριβῆ περὶ τούτων κρίσιν καὶ τὴν ἀσφαλεστάτην αἵρεσιν. ἄκουε δὲ καὶ σὺ, εἰ βούλει. ΕΡΜ. ἀλλὰ βούλομαι, ὦ Λυκῖνε· ἴσως γάρ τι γνώριμον ἐρεῖς. ΛΥΚ. σκόπει δὴ καὶ μὴ καταγελάσῃς, εἰ παντάπασιν ἰδιωτικῶς ἀναζητῶ αὐτό· ἀνάγκη γὰρ οὕτως, ἐπεὶ σὺ μὴ ἐθέλεις σαφέστερον εἰπεῖν εἰδὼς ἄμεινον. 22. ἔστω δή μοι ἡ μὲν ἀρετὴ τοιόνδε τι, οἷον πόλις τις εὐδαίμονας ἔχουσα

---

tuentur, veluti codex fabulae ap. Tyrwhitt. De Babrio p. 39: τὰς βουλὰς φανερὰς εἶναι, ὡς ἂν διαγιγνώσκηται, τί βουλεύεται ἕκαστος atque adeo ipse Babrius in l. utcunque corrupto, fab. 59, 12. εἰ ψεύδεται Solanus e Basileensi secunda. ἢ ψεύδεται libri (diserte EGH) et edd. vett. δ' ὑπὲρ edd. vett. δὲ ὑπὲρ GHΩCM. ἔοικεν G.

21. παραπολόμενον ΕΩ. παραπολλόμενον Ga. παραπολλύμενον H. παραπολλούμενον V. παραπολούμενον Tbcd. ἐν τῷ πολλῷ GHΩ. ἐν πολλῷ τῷ v. vide comparante Reitzio supra § 1 fin. γάρ σοι EGHΩ. γάρ ἄν σοι v. ὧν ἂν] τῶν ἂν H. ἐθέλεις] εἰθέλεις G. ἐθέλῃς cd. μοι GHΩ cum Solano. με v. ἐπεὶ δ' οὖν] ἐπειδὰν H. ἀποκρύπτῃ Ω et v. ἀποκρύπτει G. ἀποκρύπτης H. δὴ καὶ om G. καταγελάσῃς GHΩ et v. καταγελάσῃ CM. σὺ μὴ M solus. μὴ σὺ GHΩ et v. possis tamen deleto v. οὐ conjicere: ἐπεὶ μὴ ἐθέλεις —. ἐθέλεις H et v. ἐθέλῃς GΩC.

22. ἐκπολιτευομένους G. ὀλίγον] ὀλίγων G. καὶ πλεονεκτ.] καὶ om G. libri πλεονεκτούντων, οὐδὲν —. sed nihil

τοὺς ἐμπολιτευομένους, (ὡς φαίη ἂν ὁ διδάσκαλος ὁ
σός, ἐκεῖθέν ποθεν ἀφιγμένος) σοφοὺς ἐς τὸ ἀκρότα-
τον, ἀνδρείους ἅπαντας, δικαίους, σώφρονας, ὀλίγον
θεῶν ἀποδέοντας· οἷα δὲ πολλὰ γίγνεται παρ' ἡμῖν
ἁρπαζόντων καὶ βιαζομένων καὶ πλεονεκτούντων, [τού-
των] οὐδὲν ἂν ἴδοις, φησίν, ἐν ἐκείνῃ τῇ πόλει τολμώ-
μενον, ἀλλ' ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ ξυμπολιτεύονται,
761 μάλ' εἰκότως. ἃ γὰρ ἐν ταῖς ἄλλαις πόλεσιν, * οἶμαι,
τὰς στάσεις καὶ φιλονεικίας ἐγείρει καὶ ὧν ἕνεκα ἐπιβου-
λεύουσιν ἀλλήλοις, ταῦτα πάντα ἐκποδὼν ἐστιν ἐκείνοις.
οὐ γὰρ οὔτε χρυσίον ἔτι οὔτε ἡδονὰς οὔτε δόξας ὁρῶ-
σιν, ὡς διαφέρεσθαι περὶ αὐτῶν, ἀλλὰ πάλαι τῆς πό-
λεως ἐξεληλάκασιν αὐτά, οὐκ ἀναγκαῖα ἡγησάμενοι ξυμ-
πολιτεύεσθαι. ὥστε γαληνόν τινα καὶ πανευδαίμονα
βίον βιοῦσι ξὺν εὐνομίᾳ καὶ ἰσότητι καὶ ἐλευθερίᾳ καὶ
τοῖς ἄλλοις ἀγαθοῖς. 23. ΕΡΜ. τί οὖν, ὦ Λυκῖνε;
οὐκ ἄξιον ἅπαντας ἐπιθυμεῖν πολίτας γίγνεσθαι τῆς
τοιαύτης πόλεως, μήτε κάματον ὑπολογιζομένους τὸν
ἐν τῇ ὁδῷ μήτε πρὸς τὸ μῆκος τοῦ χρόνου ἀπαγο-
ρεύοντας, εἰ μέλλουσιν ἀφικόμενοι ἐγγραφήσεσθαι καὶ
αὐτοὶ καὶ μεθέξειν τῆς πολιτείας; ΛΥΚ. νὴ Δί', ὦ
Ἑρμότιμε, πάντων μάλιστα ἐπὶ τούτῳ σπουδαστέον,

---

certius est supplemento meo: *πλεονεκτούντων, [τούτων] οὐδὲν* —. *οὐδὲν*] *οὐδὲ* H. *ἴδοις* GHΩCM. *εἴδῃς* v. libri (etiam H) *φασίν*. at correctionem nostram *φησίν* verba poscunt antegressa: *ὡς φαίη ἂν ὁ διδάσκαλος ὁ σός*. *τολμώμενον*] *τολμηρότερον* CM. *ἀλλ' ἐν*] *ἀλλὰ ἐν* GHΩ. *μάλ' εἰκότως* GΩ. *μάλα εἰκότως* H et v. Jacobiti conjecturam *καὶ μάλ' εἰκότως* ad l. geminum De Merc. Cond. § 41 p. 191 equidem defendi. *ἐκποδῶν* pr m H. *ἐκ ποδῶν* G. *οὔτε χρυσίον — ὁρῶσιν*] in verbo *ὁρῶσιν* Solanus recte obhaesit. ego sic malim: *οὔτε χρυσίου ἔτι οὔτε ἡδονῆς οὔτε δόξης ἐρῶσιν*. *βιοῦσι*] *βιοῦσιν* a. *ξυνευνομία* G et paullo ante H: *οὐκαναγκαῖα*.

ΔΡΑΠΕΤΑΙ ntrum Luciani an alins sint constitui posse nego, uisi prius de ejus scriptore dialogi, cui nomen est *ΚΥΝΙΚΟΣ*, satis constiterit. ‚Cynicum' igitur Solanus et Bekker pro supposititio, pro suspecto Jacobsius (in Porsoni Advers. p. 304), caeteri (in his Wielandius T. III p. 148) pro ipsius opere Luciani habuerunt, argumentis aut nullis omnino adlatis aut parum idoneis. at ‚Cynicus' vel ob disertum in Galei codice (T. IV p. 262 ed. Jac.) testimonium, vel ob sermonem graecum, qui parum convenit Lucianeo, ad Lncianum auctorem referri vix ullo modo potest. immo probabile est ‚Cynicnm' hoc est defensionem cynismi ab philosopho cynico editum esse, prorsus nt Oenomaus cynicns, qui circa a. Chr. 120 fiorueratt, librum scripserat similem ‚*Περὶ Κυνισμοῦ*', id quod praeter Julianum Suidas s. *Οἰνόμαος* testatus est. sed altero dialogo cui *Δραπέται* nomen est, cujus vide § 14—16 fin., cynicorum illins aetatis accusatio continetur, quae omnia ‚Cynico' plane repugnant. ita necesse est alins ‚Cynicum' scripserit, alius ‚Fugitivos': atqui ‚Fugitivos' scripsit Lucianus: ergo alius scripsit ‚Cynicnm', Lucianus hnnc quidem non scripsit. uam quod Wielandius et (IX p. 185) Lehmannus dixerunt licuisse etiam Luciano ipsi in dialogo ‚*Κυνικός*' verum cynismum probare: ‚Cynicus' iste nunquam Diogenem vel Menippum, sed omnino cynismum et suae maxime aetatis cynicos nbique dilaudavit: at Lucianus aeqnales sibi cynicos acerbissime insectatur. quodsi ‚*Κυνικός*' ab Luciano abjndicandus est, quaeritnr, utrum eodem fere tempore qno ‚*Δραπέται*' id est circa a. 166 ab cynico qui ‚*Δραπέτας*' refellere studeret, an postea scriptus esse videatur. sunt autem duo in ‚Cynico' interlocutores, *Λυκῖνος* accusator cynismi et *Κυνικός* ejusdem defensor, e quibus personis prior momentum facit. non quod inde conligi possit ‚Cynicum' ab Ln-

τοποιὸς τὰ τοιαῦτα; ἡ Σελήνη γὰρ ἡμῖν διηγεῖτο αὐτὴ ἑωρακέναι καιόμενον λέγουσα. ΖΕΥΣ. καὶ πάνυ ἀληθῆ, ὦ Ἄπολλον· ὡς μή ποτε γενέσθαι ὤφελεν. ΑΠΟΛ.

---

ciano scriptum esse: nam Lycini persona non solum in ipso Luciano, sed etiam in dialogis certo adulterinis (velut in ,Amoribus') exstat. sed haec persona in Luciano constanter Lucianum ipsum significat. quem morem fortassis imitatus ,Cynici' scriptor, quum ne per leges quidem Λουκιανός scribere liceret, has personas introduxit: Λυκῖνον καὶ Κυνικόν, hoc est Lucianum (accusatorem) et cynicum (defensorem). his maxime de causis ,Κυνικός' dialogus ab aliquo cynico paullo post ,Δραπέτας' mihi videtur compositus esse. quod enim ,Κυνικός' non contentiosus dialogus est sed animo scriptus tranquilliore: id fieri potuit Luciani refutandi causa, qui cynicis rixas immodicas exprobrare solet. attamen si illa Lycini persona hic quidem pro ipso Luciano non ponitur ac si ,Cynicus' scriptoris est imitantis Lucianum, non refellentis, neque ulla ,Δραπετῶν' ratio habetur: tum vero fieri illud potest, quod placuit anonymo, ut ,Cynicus' multo post demum (circa a. 363) non is quidem ab ipso Libanio, cujus sermo longe alius generis est, veruntamen tempore Libanii et Juliani confectus sit, quo tempore cum ipsis paganis etiam cynismus paullum revixit. quid, quod hic dialogus etiam tertio saeculo scribi potuit, cujus initio Antiochum cynicum floruisse Dio C. 77, 19 et Suidas s. Ἀντίοχος ὁ αὐτόμολος testantur. neque hoc unum opus est inter pseudolucianea et subdititicia, quorum aetas satis accurate definiri nequeat. quod autem G. Cognato auctore Joann. Chrysostomus Κυνικοῦ dialogi Pseudolucianei partem in homiliam quandam, quam in Joannis evangelium commentatus est inseruit: locum ipsum in Chrysostomo adhuc frustra quaesivi. si tamen vera Cognatus narravit, nihil aliud nisi hoc sequitur, Cynicum dialogum ante mortem Joann. Chrysostomi, qui a. Chr. 407 obiit, scriptum esse. [Chrysostomi homilias iterum legenti ille ipse locus tandem patuit, quem Cognatus aliique, ut Schoellius in l.: Gr. Lit. Gesch. II p. 493 ed. P. dixisse videntur, in Joannem Hom. LXXX (al. LXXIX) p. 476 sq. ed. Montf.: ὁρᾷς ὅτι πανταχοῦ τὸ πολλῶν δεῖσθαι ἐλεεινόν ——————. ἡ μὲν γὰρ ἀκριβὴς ἐλευθερία τὸ μηδενὸς ὅλως δεῖσθαι, ἡ δὲ μετ' ἐκείνην τὸ ὀλίγων δεῖσθαι. plane eadem sententia est in Cynico c. 12, verba autem non prorsus sunt eadem, ut satis adpareat in Socratica saneque obvia sententia ab neutro neutrum scriptorem pendere.] fuit denique quum conjicerem hunc dialogum mira illum humanitate insignem ab aliquo Encratita compositum esse quae secta jam

οὕτω χρηστὸς ὁ γέρων ἦν καὶ ἀνάξιος ἐν πυρὶ ἀπολωλέναι; ΖΕΥΣ. *καὶ τοῦτο μὲν ἴσως· ἀλλ' ἐγὼ πολλὴν τὴν ἀηδίαν μέμνημαι ἀνασχόμενος τότε ὑπὸ κνίσης*

Luciani tempore floruit. de Encratitis bene Hippolytus Refut. Omn. Haeres. VIII, 20 p. 436 ed. Schneidew. nunc ad *ΔΡΑΠΕΤΑΣ* venio, quem dialogum Luciani esse Hemsterhusius ad Prometheum I § 5 dubitavit, plane negarunt Bourdelotius, Marcilius, Solanus et qui ab imitatore Luciani scriptum voluit Fr. Jacobsius (in diar. scholast. a. 1828. P. II N. 133). sed ex his unus Solanus causas quasdam adtulit ad § 1 fin: *τὴν κηλῖδα*, ad § 6 fin: *τοῖς Νεχραίοις*, ad § 8 init: *εἰς Αἰθιοπίαν* et ad § 17 fin: *τὸ μέλι*, quae omnia infra suo quoque loco diluentur. eodemque modo ego erravi, quum in Praef. ad Lucian. I p. IV ,Fugitivos' esse dicerem ,suspectos'. at quum L. Kuster in hoc dialogo, sive oratio sive res ipsa spectetur, quidquam inesse Luciano indignum recte negasset: ,*Δραπέτας*' plerique, ut Belinus, Schmieder, Lehmannus, Bekker, Dindorfius tacite, tribus autem verbis Gesner (ad § 27) Luciano vindicarunt. quibuscum consentiens Wielandius (III p. 138) id unum optime vidit, his verbis § 28: *ἀκριβῶς ἑαυτὸν ἐπιγνάψας* (Cantharus cynicus ,e fullone') jocum inesse ipso dignum Luciano: hic enim ad Aristophanis dictionem ingeniose adlusum est, non rustice sicut in ,Philopatride' dialogo. sed alio loco (III p. 111 sqq.) idem Wielandius, si Lehmanno (VIII p. 591) libet credere, nullum dialogum magis quam hunc pro Lucianeo habendum esse ,luculentissime probavit'. immo Wielandius pleraque ipse finxit more suo et in caeteris vel Gesnerum vel Kusterum ita secutus est, ut non tam dicendi genus quam venustatem, sales, facetias Luciani undique diceret perlucere. ita hic dialogus Luciani ingenium plane refert, ut ait Wielandius, ut autem Solanus, omnino non refert, denique ut Jacobsius, mali imitatoris est ideoque male refert. quae res postremo ad uniuscujusque sensum redit incertum: quibus autem solis in hoc genere utendum erat, argumentis certis nemo usus est et omnium minime Wielandius. qui primum disputationem de ,Cynico' hoc loco ipse quoque neglexit, postea autem et ,Cynicum' et ,Fugitivos' eidem Luciano adjudicavit, quod ineptissimum est: sed hoc omittam. tum vero alius liber et is certo Lucianeus in hac quaestione jacet neglectus. nam ut in editionibus hi duo libri perpetuo se ordine excipiunt: ,*Περὶ τῆς Περεγρίνου τελευτῆς*' et ,*Δραπέται*', ita idem prorsus ordo jam in codd. observatus est, velut in antiquo illo Vindobonensi B, in Venetis *Ω* et *Ω* 2 teste Sommerbrodtio meo (Codd. Marc. Lectt. p. VIII) et aliis, fortas-

πονηρᾶς, οἵαν εἰκὸς ἀποφέρεσθαι ὀπτωμένων ἀνθρωπείων σωμάτων. εἰ γοῦν μὴ εἰς τὴν Ἀραβίαν ὡς εἶχον εὐθὺς ἀπιὼν ᾠχόμην, ἀπωλώλειν ἄν, εὖ ἴσθι, ἀτοπίᾳ

---

sis etiam in codice Thomae Mag., qui ‚Κυνικόν' nusquam adfert, adfert autem Luciani et ‚Περὶ τῆς Περ. τελευτῆς' (§ 6) p. 363, 16 et ‚Δραπέτας' (§ 16) p. 324, 11. enimvero quicunque hos duo libros continuo perlegerit, ab scriptore eodem ambo videbit profectos esse, in qua re unicum indicium profero loco plurimorum. in ‚Δραπέταις' § 2 fin. Peregrini oratio Olympiae paullo ante mortem habita hanc unam ob causam reticetur, quod eadem oratio jam ‚Περὶ τῆς Περ. τελευτῆς' § 32—34 in medium adlata erat. quae quum ita sint, sequitur, ut qui scripserit librum ‚Περὶ τῆς Περ. τελευτῆς', idem necessario scripserit paullo post etiam dialogum ‚Δραπέτας'. atqui librum ‚Περὶ τῆς Περ. τελευτῆς' omnium consensione Lucianus scripsit: ergo necesse est Luciani ejusdem fuerint etiam ‚Δραπέται'. quae ratio tam certo conclusa est, ut ejus ope etiam tempus ‚Δραπετῶν' sine ullo errore inveniri possit. quum enim Peregrinus Ol. 236 sive a. 165 mense Julio Olympiae in rogum insiluisset: primum paucis diebus post liber ‚Περὶ τῆς Περεγρίνου τελευτῆς' ad Cronium Platonicum scriptus, deinde aut fine ejusdem a. 165 aut initio anni 166 dialogus ‚Δραπέται' ab eodem Luciano compositus est. medio autem tempore quum ut fit rixam rixa peperisset, alium librum acerbissimum (non illum quidem in cynicos) emisit: *Πρὸς τὸν ἀπαίδευτον κ. τ. ἑ.*, quem librum vide § 14 init. ceterum hic est libellus famosus, in quo post omnium cynicorum insectationem (§ 1—21) tres cynici in his unus maxime nomine *Κάνθαρος* (§ 22—33 fin.) Sinopensis traducti sunt, qui quum hospiti marito uxorem eripuisset, e graecia Trimontium aufugerat. paullo ante Cantharus libellum scripserat, in quo Lucianum traduceret, ad quae maledicta hic jam respondetur, de qua re infra ad § 32 dicturus sum. itaque verendum est, ne ut in similibus libellis ‚Ῥητόρων διδάσκαλος' et ‚Πρὸς τὸν ἀπαίδευτον' et ‚Ψευδολογιστής', ita etiam in ‚Δραπέταις' Lucianus odio obcaecatus nonnulla de hoc Cantharo dixerit parum integra veritate. nam si Cantharus ut § 27 et saepius ait, conditione fuit servili: quid tandem esse potuit, quare noster judices extimesceret hominemque neque ipsum neque duo ejus socios § 26 sq. ne nomine quidem ipso adpellaret? sed ita vir obscuro ipse loco natus etiam Julio Polluci adversario in Rhet. Praecept. § 24 patrem servum objecit. similiter jam Gesner ad § 27 Cantharum opinatus est ut conditione fuerit servili, tamen principum amicitiis magnas opes consecutum fuisse. male-

τοῦ καπνοῦ· καὶ ὅμως ἐν τοσαύτῃ εὐωδίᾳ καὶ ἀφθονίᾳ τῶν ἀρωμάτων καὶ ἐν λιβανωτῷ παμπόλλῳ μόλις αἱ ῥῖνες * ἐπιλαθέσθαι μοι καὶ ἀπομαθεῖν ἤθελον τὴν 366

---

dicentia certe fuit terribili, ut noster § 27 et § 29 satis testatnr. ab mea autem conjectura haud longe Schmieder abfuit II p. 498: ‚auctorem libri, inquit, de morte Peregrini cum aliis cynicorum nnus praecipue vel verbis vel scriptis male habuerat: quem ulturus Lncianus hunc librum (Δραπέτας) scripsisse videtur'. scio cynicos id qnoque habuisse, ut in disputatione saepe non tam verbis opus esse putarent quam fustibus (ut ap. Artemidorum Onirocr. IV, 33 et alibi): at hoc quidem in librum De morte Peregrini cadit, ubi quum et ipse et cynici ludis una interessent, ille se (§ 2 fin.) ab cynicis scripsit paene dilaniatum esse, idem vero in ‚Fugitivos' minime cadit. et in superiore libro Luciano cum alio cynico, Theagene Patrensi (§ 5 et maxime § 31) res fuit, in hoc autem non cum Theagene, sed cum Cantharo Sinopensi digladiatur. quae si recte dicta sunt, non vulgaris cynicus sed ex eorum numero Cantharus fuit, qui ‚σοφισταὶ κύνειοι' dicebantur velnt illi duo ap. Dionem Xiphilini 66, 15, qui argumentis maledicta non impnne adjecernnt.

1. φασι] φησι A. φέρων αὐτὸν (αὐτὸν A*Π*) ACM*Π*. αὐτὸν φέρων v. ὤφελεν] ὤφελον A*Π*. ΖΕΥΣ.] ἀπο^λλ/ A. πολλὴν τὴν A*Π*. πολλὴν μὲν τὴν v. μὲν in Quaestt. p. 210 delevi. κνίσης Jacobitius pro κνίσσης. κνήσσης a. ἀποφένεσθαι (sic) *Π*. ὀπτωμένων ACM*Π*. ὀπτομένων edd. vett. ἀνθρωπείων ACM*Π*. ἀνθρωπίνων v. σωμάτων] σαρκῶν Cobetus V. L. p. 210, infeliciter. ἀπωλώλειν Dindorfius. libri ἀπολώλειν. vide varr. lectt. Lexiph. § 11, De Saltat. § 83, Adv. Indoct. § 19, Calumn. n. t. cr. § 16, Thucyd. IV, 133, Plutarch. in Pyrrho c. 21. adde Schaeferum ad Demosth. II p. 85, 6. λιβανωτῷ] λιβάνω τῶ A. κηλῖδα] κηλίδα A. ‚quis ante aut post hunc odoris sibi maculam finxit?' Solanus. ego pro τὴν κηλῖδα olim τὴν κηκῖδα conjeceram: ‚acumen (gravitatem) odoris', adlatis Suida s. v. sive Zonara p. 1204: ‚Κηκίς: ἡ ὀξύτης, tum scholiasta ad Soph. Antigon. v. 1008, inprimis autem Aeschylo in Choeph. v. 265 de rogo: θανόντας ἐν κηκῖδι (schol: ἐν ἀναδόσει) πισσήρει φλογός, quibus Aeschyli verbis Lncianea De Morte Peregr. § 35 fin. mire congruunt. adde Ruhnkenium ad Timaei Lex. p. 30 s. Ἀνακηκίει. δέω] δέων a. ὑπομνησθεὶς] ἀπομνησθεὶς A (ita A). Jacobitius plus semel scripturas adfert quasi ex ‚F', h. l. ἀπομνησθεὶς, § 3 δεινά, qui ei ut nobis est Guelferbytanus prior, a quo codice hic dialogus totus abest.

κηλῖδα ἐκείνην τῆς ὀσμῆς, ἀλλὰ καὶ νῦν ὀλίγου δέω ναυτιᾶν, ὑπομνησθεὶς αὐτῆς. 2. *ΑΠΟΛ.* τί δὲ βουλόμενος, ὦ Ζεῦ, τοιαῦτα εἴργασται ἑαυτόν; ἢ τί τὸ ἀγαθὸν, ἀπανθρακωθῆναι ἐμπεσόντα εἰς τὴν πυραν; *ΖΕΥΣ.* τοῦτο μὲν οὐκ ἄν, ὦ παῖ, φθάνοις καὶ Ἐμπεδοκλεῖ πρὸ αὐτοῦ ἐγκαλῶν, ὃς ἐς τοὺς κρατῆρας ἥλατο καὶ αὐτὸς ἐν Σικελίᾳ. *ΑΠΟΛ.* μελαγχολίαν τινὰ δεινὴν λέγεις. ἀτὰρ οὗτός γε τίνα ποτε ἄρα τὴν αἰτίαν ἔσχε τῆς ἐπιθυμίας; *ΖΕΥΣ.* αὐτοῦ σοι λόγον ἐρῶ, ὃν ἔλεξε πρὸς τὴν πανήγυριν ἀπολογούμενος πρὸς αὐτοὺς ὑπὲρ τῆς τελευτῆς. ἔφη γὰρ, εἴγε μέμνημαι — 3. ἀλλὰ τίς αὕτη σπουδῇ πρόσεισι τεταραγμένη καὶ δακρύουσα, πάνυ ἀδικουμένη ἐοικυῖα; μᾶλλον δὲ Φιλοσοφία ἐστὶ, καὶ τοὔνομά γε τοὐμὸν ἐπιβοᾶται σχετλιάζουσα. τί, ὦ θύγατερ, δακρύεις; ἢ τί ἀπολιποῦσα τὸν βίον ἐλήλυθας; ἆρα μὴ οἱ ἰδιῶται αὖθις ἐπιβεβουλεύκασί σοι ὡς τὸ πρόσθεν, ὅτε τὸν Σωκράτην ἀπέκτειναν ὑπὸ Ἀνύ-
367 του κατηγορηθέντα, εἶτα φεύγεις διὰ τοῦτο αὐτούς; *
ΦΙΛ. οὐδὲν τοιοῦτον, ὦ πάτερ, ἀλλ᾽ ὁ μὲν πολὺς λεὼς ἐπῄνουν καὶ διὰ τιμῆς ἦγον αἰδούμενοι καὶ θαυμάζοντές με καὶ μονονουχὶ προσκυνοῦντες, εἰ καὶ μὴ σφόδρα

---

2. *δὲ Π* et v. *δαὶ* AC. *ἐμπεσόντα* VACMΠ cum Graevio. *ἐμπεσὼν* edd. vett. de tali nominativo vel absoluto vel ex anacoluthia nato quae Lobeckius ad Phryn. p. 754 sqq., Schaefer ad Demosth. II p. 648, Struvius L. L. p. 240 et ego Quaestt. L. p. 103 conlegimus, emendationis pleraque egent utpote corrupta.
οὐκ ἄν, ὦ παῖ, φθάνοις] transpono: *οὐκ ἂν φθάνοις, ὦ παῖ* ordine usitato. *ἥλατο* eg. *ἥλατο* abcd. *ἥλλατο* ACΠ. *ἀτὰρ* A, ut in Ep. Cr. p. XXII conjeceram. *αὐτὰρ Π* et v. *ποτὲ Π* et v. *πότε* A. edidi: *ποτ᾽ —.* *αὐτοῦ σοι λόγον ἐρῶ*] D. Deor. XXII, 2: *αὐτῆς ἐκείνης λόγον σοι ἐρῶ.*

3. *ἆρα μὴ* (punctum etiam in marg.) A. vide Schaeferum ad Soph. Electr. v. 446. *Σωκράτην* AΠg. *Σωκράτη* v. *διατοῦτο* A. *ἀλλ᾽ ἐκεῖνοι μὲν ὁ πολὺς λεὼς* v. *ἀλλ᾽ ἐκεῖνο μὲν ὁ πολὺς λεὼς* A. *ἀλλ᾽ ἐκεῖνοι με ὁ πολὺς λεὼς Π.* hinc correxi: *ἀλλ᾽ ὁ μὲν πολὺς λεώς.* nam *ἐκεῖνοι* delendum esse et natum ex inferiore illo: *ἐκεῖνοί με* (post *ὑποδυόμενοι*) quum res ipsa tum uterque codex (AΠ) aperte docent. et hoc ipsum *ὁ πολὺς λεὼς* etiam ab Luciano cum plurali verborum conjungi solet. *πῶς*

ξυνιεσαν ὧν λέγοιμι. οἱ δὲ, πῶς ἂν εἴποιμι; οἱ ξυνή-
θεις καὶ φίλοι φάσκοντες εἶναι καὶ τοὔνομα τοὐμὸν
ὑποδυόμενοι, ἐκεῖνοί με τὰ δεινότατα εἰργάσαντο.
4. ΖΕΥΣ. οἱ φιλόσοφοι ἐπιβουλήν τινα ἐπιβεβουλεύκασί
σοι; ΦΙΛ. οὐδαμῶς, ὦ πάτερ, οἵ γε ξυνηδίκηνταί μοι
καὶ αὐτοί. ΖΕΥΣ. πρὸς τίνων οὖν ἠδίκησαι, εἰ μήτε
τοὺς ἰδιώτας μήτε τοὺς φιλοσόφους αἰτιᾷ; ΦΙΛ. εἰσί
τινες, ὦ Ζεῦ, ἐν μεταιχμίῳ τῶν τε πολλῶν καὶ τῶν
φιλοσοφούντων, τὸ μὲν σχῆμα καὶ βλέμμα καὶ βάδισμα
ἡμῖν ὅμοιοι καὶ κατὰ ταὐτὰ ἐσταλμένοι· ἀξιοῦσι γοῦν
ὑπ' ἐμοὶ τάττεσθαι καὶ τοὔνομα τὸ ἡμέτερον ἐπιγρά-
φονται, μαθηταὶ καὶ ὁμιληταὶ καὶ θιασῶται ἡμῶν εἶναι
λέγοντες· ὁ βίος δὲ παμμίαρος αὐτῶν ἀμαθίας καὶ
θράσους καὶ ἀσελγείας ἀνάπλεως, ὕβρις οὐ μικρὰ καθ'
ἡμῶν· ὑπὸ τούτων, ὦ πάτερ, ἠδικημένη πέφευγα.
5. * ΖΕΥΣ. δεινὰ ταῦτα, ὦ θύγατερ. ἀλλὰ τί μάλιστα 368
ἠδικήκασί σε; ΦΙΛ. σκόπει, ὦ πάτερ, εἰ μικρά. σὺ

ἂν εἴποιμι; οἱ ξυνήθεις] olim in Quaestt. L. p. 79 conlato simillimo loco Imagin. § 9: *ὀδόντας ἐξέφηνε πῶς ἂν εἴποιμί σοι ὅπως μὲν λευκούς* h. l. ita conjeceram: *πῶς ἂν εἴποιμί σοι, οἱ ξυνήθεις,* quo opus esse Lehmannus negabat. sane locum in quo *μοι* abest ipse ibidem adtuleram hunc, Eurip. Phoeniss. v. 1188: *Καπανεὺς δὲ πῶς εἴποιμ' ἂν ὡς ἐμαίνετο.* at nostro loco Jovem Philosophia adloquitur, qui in Luciano semper hebes et stolidus est. *τὰ δεινότατα*] *τὰ δεινὰ* A (ita A).

4. *ΦΙΛ. οὐδαμῶς*] *οὔ: οὐδαμῶς Π.* *ξυνήδικηνταί* (sic) A. *μεταιχμίῳ Π* et v. *μεσαιχμίω* A. *ταὐτὰ*] *τὰ αὐτὰ* AΠ. *καὶ θιασῶνται* A. ab his verbis *καὶ θιασῶται* incipit B, in quo hic libellorum ordo fuerat: Macrobii, De Morte Peregrini, Fugitivi. sed medio libro (ut in multis aliis codd.) circa a. 1666 violenter rescisso haec clades etiam ad duo libros proximos ita permanavit, ut et finis Macrobiorum, qui nunc ibi in haec verba § 21 desinunt: *τιμὰς ὁ ταρσέων δῆμος* et vero etiam initium Fugitivorum usque ad verba *μαθηταὶ καὶ ὁμιληταὶ* § 4 una perirent. *παμμίαρος αὐτῶν* BAΠ. *αὐτῶν παμμίαρος* v. *ἀνάπλεως* (sed *οι* m rec) Π. (*οι* written above) *ὕβρις*] *ζεὺς* loquitur: *ὕβρις* caet. in BA. *φιλοσοφ´* persona ante *ὑπὸ τούτων* in BA.

5. *ταῦτ' ὦ Π.* *ἠδικήκασί*] *ἠδίκησάν* M. *πᾶτερ* B errore compendii. novem verbis omissis post *ταραττόμενον* statim *ἐμὲ*

γὰρ κατιδὼν τὸν βίον ἀδικίας καὶ παρανομίας μεστὸν, ἅτε ἀμαθίᾳ καὶ ὕβρει ξυνόντα καὶ ταραττόμενον ὑπ' αὐτῶν, κατελεήσας τὸ ἀνθρώπινον ὑπὸ τῇ ἀγνοίᾳ ἐλαυνόμενον ἐμὲ κατέπεμψας, ἐντειλάμενος ἐπιμεληθῆναι, ὡς παύσαιντο μὲν ἀδικοῦντες ἀλλήλους καὶ βιαζόμενοι καὶ ὅμοια τοῖς θηρίοις βιοῦντες, ἀναβλέψαντες δὲ πρὸς τὴν ἀλήθειαν εἰρηνικώτερον ξυμπολιτεύοιντο. ἔφης γοῦν πρός με καταπέμπων· ‚ἃ μὲν πράττουσιν οἱ ἄνθρωποι καὶ ὡς διάκεινται ὑπὸ τῆς ἀμαθίας, ὦ θύγατερ, καὶ αὐτὴ ὁρᾷς· ἐγὼ δὲ, ἐλεῶ γὰρ αὐτοὺς, σὲ, ἣν μόνην ἰάσασθαι ἂν τὰ γιγνόμενα οἶμαι, προκρίνας ἐξ ἁπάντων ἡμῶν πέμπω ἰασομένην‘. 6. *ΖΕΥΣ. οἶδα πολλὰ καὶ τοιαῦτα εἰπὼν τότε. σὺ δὲ τὰ μετὰ ταῦτα ἤδη λέγε, ὅπως μὲν ὑπεδέξαντό σε καταπταμένην τὸ πρῶτον, ἅτινα δὲ νῦν ὑπ' αὐτῶν πέπονθας. ΦΙΛ. ἦξα μὲν, ὦ πάτερ, οὐκ ἐπὶ τοὺς Ἕλληνας εὐθὺς, ἀλλ' ὅπερ ἐδόκει μοι τὸ χαλεπώτερον τοῦ ἔργου εἶναι τοὺς βαρβάρους παιδεύειν καὶ διδάσκειν, τοῦτο πρῶτον ἠξίουν*
369 *ἐργάσασθαι, τὸ Ἑλληνικὸν δὲ * εἴων ὡς ῥᾷστον ὑποβαλέσθαι καὶ τάχιστα, ὥς γε ᾤμην, ἐνδεξόμενον χαλινὸν οἷον τὸν ἐμὸν, καὶ ὑπαχθησόμενον τῷ ζυγῷ. ὁρμήσασα δὲ εἰς Ἰνδοὺς τὸ πρῶτον, ἔθνος μέγιστον*

---

pergit A. *τὸ ἀνθρώπινον*] *τὸ ἀνθρώπιον* B. *τὸ ἀνθρωπεῖον* M, ut possis: *τὸ ἀνθρώπειον.* *μὲν*] *μὲν* A (voluit *μὲν*). *πράττουσιν οἱ ἄνθρωποι* BACM. *πράττουσιν ἄνθρωποι* *Π* et v. nolim: *πράττουσιν ἄνθρωποι.* *ἰάσασθαι ἂν*] *ἰάσεσθαι ἂν* BAC*Π*.

6. *τοιαῦτα*] *ταῦτα* BACM*Π*. *ἦξα* *Π*p. *ἦξα* CM edd. vett. *ἦξα* BA. libri *ἐδόκει μοι χαλεπώτερον.* corrige aut: *ἐδόκει μοι τὸ χαλεπώτερον,* aut: *ἐδόκει μοι τὸ χαλεπώτατον.* Bekkeri enim conjectura: *ἐδόκει μοι χαλεπώτατον* (sine articulo) ferri non potest. *τοὺς βαρβάρους* A. *τὸ βαρβάρους* *Π* et v et fortasse B. *ἐργάσασθαι* BAC*Π*. *εἰργάσασθαι* edd. vett. *ῥᾷστον*] *ῥᾷστα* BA. *ἐνδεξόμενον* BA et v. *ἐνδέξασθαι* *Π* et haud dubie V. libri: *τὸν χαλινὸν οἷόν τε καὶ —.* Dindorfius post Jacobitium verba *οἷόν τε* ejiciebat. equidem aliter correxi: *χαλινὸν οἷον τὸν ἐμὸν καὶ —.* Philosophia: ‚freni, inquit, quales sunt mei‘, quibus frenis Graecos liberum etiam tunc populum minime in servitutem redigebat sed vindicabat in animi libertatem. de

τῶν ἐν τῷ βίῳ, οὐ χαλεπῶς ἔπεισα καταβάντας ἀπὸ τῶν ἐλεφάντων ἐμοὶ συνεῖναι· ὥστε καὶ γένος ὅλον τὸ Βραχμάνων τοῖς Νεχρέοις καὶ Ὀξυδράκαις ὅμορον, οὗτοι πάντες ὑπ' ἐμοὶ τάττονται καὶ βιοῦσί τε κατὰ τὰ ἡμῖν δοκοῦντα τιμώμενοι πρὸς τῶν περιοίκων ἁπάντων, καὶ ἀποθνήσκουσι παράδοξόν τινα τοῦ θανάτου τρόπον. 7. ΖΕΥΣ. τοὺς γυμνοσοφιστὰς λέγεις. ἀκούω γοῦν τά τε ἄλλα περὶ αὐτῶν καὶ ὅτι ἐπὶ πυρὰν μεγίστην ἀναβάντες ἀνέχονται καιόμενοι, οὐδὲν τοῦ σχήματος ἢ τῆς καθέδρας ἐκτρέποντες. ἀλλ' οὐ μέγα τοῦτό γε· ἔναγχος γοῦν καὶ Ὀλυμπίασι τὸ ὅμοιον ἐγὼ εἶδον γενόμενον· εἰκὸς δὲ καὶ σὲ παρεῖναι καιομένου τότε τοῦ γέροντος. ΦΙΛ. οὐδὲ ἀνῆλθον, ὦ πάτερ, εἰς

Graecia servitutis jugum excutiente praeclare Aeschylus in Pers. v. 193: ἡ δ' ἐσφάδαζε — ἄνευ χαλινῶν καὶ ζυγὸν θραύει μέσον. ὁρμήσασα δὲ BAΠ. ὁρμήσασα v. τοπρῶτον A. ὅλον BACMΠ. ὄλβιον v. compara Macrob. § 4: γένη ὅλα μακρόβια ἱστόρηται — Ἰνδῶν οἱ καλούμενοι Βραχμᾶνες. post ὅλον libri pergunt: οἱ Βραχμᾶνες (βραχμάνες BA), quorum loco scripsi: τὸ Βραχμάνων, ut Hierocles (ap. Steph. Byz. s. Βραχμᾶνες p. 184) scripsit τὸ Βραχμάνων φῦλον. nam οἱ Βραχμᾶνες ita tantum servari potest, si post ὅμορον transponatur. Belinus istuc οἱ Βραχμᾶνες delebat immemor horum verborum § 8 init: μετὰ δ' οὖν τοὺς Βραχμᾶνας —. νεχρέοις BAC. νεχραίοις Π et v. Solanus: ‚quaenam inquit, ista gens?' ego vero ita sentio, corrigendum esse: Νερέοις e Plin. Nat. Hist. VI, 76, quo auctore una Indiae gens fuerunt ‚Nereae' (sic); nisi forte salvis Luciani Νεχρέοις in Plinio conjiciendum est: ‚Necreae': certe quidem eandem ab utroque scriptore Indiae gentem memoratam esse censeo. ὅμορον ACMΠ. ὅμοροι v et (?) B. libri βιοῦσί γε. sed βιοῦσί τε in Quaestt. p. 123 correxi.

7. ἐκτρέποντες Π et v. ἐντρέποντες BACM. eadem res paullo ante enarrata est De Morte Peregr. § 25, ubi libri (ΩFa) sic: εἶτ' ἐπιβάντες κατὰ σχῆμα καίονται οὐδ' ὅσον ὀλίγον ἐντρέψαντες τῆς κατακλίσεως. hodie verbum ἐντρέπειν neutro loco tolerari posse censeo, sed in Fugitivis vulgatam tueor, priore autem loco cum Fabro corrigendum arbitror: ἐκτρέψαντες, ita tamen ut pro ineptis verbis κατὰ σχῆμα scribatur: κατὰ ἓν σχῆμα. quatuor verba ἀλλ' οὐ μέγα τοῦτο om Π. ἀλλ' οὐ μέγα τοῦτο BAC et v. ἀλλ' οὐδὲν μέγα τοῦτο M. sed pro τοῦτο bene τοῦτό γε emendavit

Ὀλυμπίαν, δέει τῶν καταράτων ἐκείνων, οὓς ἔφην, ὅτι πολλοὺς αὐτῶν ἑώρων ἀπιόντας, ὡς λοιδορήσαιντο τοῖς ξυνεληλυθόσι καὶ βοῆς τὸν ὀπισθόδομον ἐμπλήσωσιν ὑλακτοῦντες, ὥστε οὐδὲ εἶδον ἐκεῖνον ὅπως ἀπέθανε.
370 8. μετὰ δ' οὖν τοὺς Βραχμᾶνας εἰς Αἰθιοπίαν * εὐθὺς, εἶτα εἰς Αἴγυπτον κατέβην, καὶ ξυγγενομένη τοῖς ἱερεῦσι καὶ προφήταις αὐτῶν καὶ τὰ θεῖα παιδεύσασα ἐς Βαβυλῶνα ἀπῆρα Χαλδαίους καὶ μάγους μυήσουσα, εἶτα ἐς Σκυθίαν ἐκεῖθεν, εἶτα ἐς Θρᾴκην, ἔνθα μοι Εὔμολπος καὶ Ὀρφεὺς συνεγενέσθην, οὓς καὶ προαποστείλασα ἐς τὴν Ἑλλάδα, τὸν μὲν, ὡς τελέσειεν αὐτοὺς, τὸν Εὔμολπον, (ἐμεμαθήκει γὰρ τὰ θεῖα παρ' ἡμῶν ἅπαντα) τὸν δὲ, ὡς ἐπᾴδων προσβιβάζοι τῇ μουσικῇ,

---

Schwidopius Obs. Luc. III p. 19, uti Lucianus solet. vide vel nostra in Quaestt. L. p. 148 sq. Ὀλυμπίασι pro Ὀλυμπιάσι Jacobitius. εἰς] ἐς Π. ἑώρων (ἑωρῶν Π) ἀπιόντας] malim: ἑώρων ἀνιόντας. ὡς λοιδορήσαιντο — καὶ — ἐμπλήσωσιν] aut pro λοιδορήσαιντο scribe λοιδορήσωνται, aut quod malim cum Bekkero ἐμπλήσειαν pro ἐμπλήσωσιν. ξυνεληλυθόσιν a.

8. δ' οὖν Jacobitius. libri γοῦν. βραχμάνας ΒΑΠ. εἰς Αἰθιοπίαν (αἰθιοπῆαν Π)] „quinam ibi philosophi memorantur?“ Solanus. gymnosophistas Aethiopibus a Philostrato tribui Oleario uni (ad Vit. Apollon. VI, 7 p. 235) qui volent credant. magos Aethiopiae a Pythagora et Democrito consultos vult Plinius N. Hist. XXV, 13. ac sane de Mocho quodam (tamen illo e Phoenice) vetustissimo philosopho atque eodem ejusdem Democriti duce fama perlapsa erat ad Posidonium ap. Strabonem XVI p. 757 et Sextum Empir. Adv. Mathem. IX p. 363, quibuscum cf. Josephum Antiq. I, 3. εἰς βαβυλῶνα Π. εἰς σκυθίαν Π.

ἐς Θρᾴκην] εἰς θράκην Α. tria verba εἶτα ἐς Θρᾴκην om Π. εὔμολπος καὶ ΒΑ. Εὔμολπός τε καὶ Π et v. ἐς τὴν] εἰς τὴν ΑΠ. προσβιβάζοι ΑCMΠ et fortasse B. προσβιάζοι edd. vett. menda pluribus locis communi. videsis Schaeferum Mel. Crit. p. 34. libri: κατὰ πόδας εὐθὺς εἰπόμην. Bekker et Dindorfius εὐθὺς deleverunt, ego uncis inclusi εὐθύς ut suspectum et natum e verbis proximis: καὶ τὸ μὲν πρῶτον εὐθὺς ἐλθοῦσαν —. sane attici κατὰ πόδα et κατὰ πόδας plerumque sola ponunt, ut Philemon ap. Athen. VII p. 288 f. (v. 16). attamen in Achille Tatio III, 3 init. p. 60 ed. J. recte libri exhibent: οἱ δὲ εὐθὺς κατὰ πόδας ἐξήλλοντο.

κατὰ πόδας [εὐθὺς] εἰπόμην. 9. καὶ τὸ μὲν πρῶτον εὐθὺς ἐλθοῦσαν οὔτε πάνυ ἠσπάσαντο οἱ Ἕλληνες οὔτε ὅλως ἀπέκλεισαν· κατ' ὀλίγον δὲ προσομιλοῦσα ἑπτὰ ἐκ τῶν ἁπάντων ἑταίρους καὶ μαθητὰς προσηγαγόμην καὶ ἄλλον ἐκ Σάμου, καὶ ἄλλον ἐξ Ἐφέσου, καὶ Ἀβδηρόθεν ἄλλον, ὀλίγους παντάπασι. 10. μεθ' οὓς τὸ σοφιστῶν φῦλον οὐκ οἶδ' ὅπως μοι παρενεφύετο οὔτε ζηλοῦν τἀμὰ ἐς βάθος οὔτε κομιδῇ ἀπᾷδον, ἀλλ' οἷον τὸ Ἱπποκενταύρων γένος σύνθετόν τι καὶ μικτὸν, ἐν μέσῳ ἀλαζονείας καὶ φιλοσοφίας πλαζόμενον, οὔτε τῇ ἀγνοίᾳ τέλεον προσεχόμενον οὔτε ἡμᾶς ἀτενέσι τοῖς ὀφθαλμοῖς καθορᾶν δυνάμενον, ἀλλ' οἷον οἱ λημῶντες ὑπὸ τοῦ ἀμβλυώττειν ἀσαφές τι καὶ ἀμυδρὸν ἡμῶν εἴδωλον ἢ σκιὰν ἐνίοτε ἰδόντες ἄν, οἱ δὲ ᾤοντο ἀκριβῶς πάντα κατανενοηκέναι. ὅθεν παρ' αὐτοῖς ἡ ἀχρεῖος ἐκείνη * καὶ περιττὴ σοφία καί, ὡς αὐτοὶ ᾤοντο, 371
ἀπρόσμαχος ἀνεφλέγετο, αἱ κομψαὶ καὶ ἄποροι καὶ ἄτοποι ἀποκρίσεις, καὶ δυσέξοδοι καὶ λαβυρινθώδεις ἐρωτήσεις. 11. εἶτα κωλυόμενοι καὶ ἐλεγχόμενοι πρὸς τῶν ἑταίρων τῶν ἐμῶν ἠγανάκτουν καὶ συνίσταντο ἐπ' αὐτούς, καὶ τέλος δικαστηρίοις ὑπῆγον καὶ παρεδίδοσαν πιομένους τοῦ κωνείου. ἐχρῆν μὲν οὖν ἴσως τότε

---

9. quinque verba *οὔτε πάνυ ἠσπάσαντο οἱ Ἕλληνες* om *Π*. *κατολίγον* a. *αὐδηρόθεν Π* menda vulgari.

10. *ἀπᾷδον* BA. *ἀπάδον* v. *μικτὸν*] *μικρὸν* B. *μικρὸν* (etiam τ supra pr m) A. *καθορᾶν*] *καθ' ὁρᾶν* a. libri: *οἷον λημῶντες*, quae verba aut ipsa supervacanea sunt aut proxima, *ὑπὸ τοῦ ἀμβλυώττειν*. quamobrem correxi: *οἷον οἱ λημῶντες*. vide vel hic § 10 init: *οἷον τὸ Ἱπποκενταύρων γένος* et Diphilum ap. Athen. VII p. 292, a (v. 9): *οἷον τὸ κατὰ τοὐμπόριον, εἰ βούλει, γένος.* *ἰδόντες ἄν, οἱ δὲ*] Quaestt. L. p. 48. *ἀπρόσμαχος*] *ἀπρόμαχος* a. *καὶ δυσέξοδοι*] non jam mihi videtur articulo opus esse: *καὶ αἱ δυσέξοδοι*, sed *καὶ ἄτοποι* deleo.

11. *πιομένους τοῦ κωνείου* (*κωνίου* B)] vide quae diximus ad Bis Accus. § 5 (II, 1 p. 9). *Μένιππος, οὗτοι* vulgo. *μένιππος οὗτος* BAV*Π*, quod omnibus modis ineptum est. at *οὗτοι* ita positum est ut supra § 6 fin: *οὗτοι πάντες —*. notat enim aequales cynicos ut plane degeneres. itaque tacet de Academicis, Peri-

φυγεῖν εὐθὺς καὶ μηκέτι ἀνέχεσθαι τὴν συνουσίαν αὐ-
τῶν, νῦν δὲ Ἀντισθένης με καὶ Διογένης καὶ μετὰ
μικρὸν Κράτης καὶ Μένιππος, οὗτοι ἔπεισαν ὀλίγον
ὅσον ἐπιμετρῆσαι τῆς μονῆς. ὡς μήποτε ὤφελον· οὐ
γὰρ ἂν τοσαῦτα ἐπεπόνθειν ὕστερον. 12. ΖΕΥΣ.
οὐδέπω μοι λέγεις, ὦ Φιλοσοφία, τίνα ἠδίκησαι, ἀλλ'
ἀγανακτεῖς μόνον. ΦΙΛ. καὶ μὴν ἄκουε, ὦ Ζεῦ, ἡλίκα
ἐστί· μιαρὸν γάρ τι φῦλον ἀνθρώπων καὶ ὡς τὸ πολὺ
δουλικὸν καὶ θητικὸν, οὐ ξυγγενόμενον ἡμῖν ἐκ παίδων
ὑπ' ἀσχολίας· (ἐδούλευε γὰρ ἢ ἐθήτευεν ἢ ἄλλας τέχνας
οἵας εἰκὸς τοὺς τοιούτους ἐμάνθανε, σκυτεύειν ἢ τεκταί-
νειν ἢ περὶ πλυνοὺς ἔχειν ἢ ἔρια ξαίνειν, ὡς εὐεργὰ
εἴη ταῖς γυναιξὶ καὶ εὐμήρυτα καὶ κατάγοιτο εὐμαρῶς,
ὁπότε ἢ κρόκην ἐκεῖναι στρέφοιεν ἢ μίτον κλώθοιεν·)
τοιαῦτα τοίνυν ἐν παισὶ μελετῶντες οὐδ' ὄνομα τὸ
ἡμέτερον ᾔδεσαν. ἐπεὶ δὲ εἰς ἄνδρας τελεῖν ἤρξαντο
καὶ κατεῖδον τὴν αἰδῶ, ὅση παρὰ τῶν πολλῶν ἐστι
372 τοῖς ἑταίροις τοῖς * ἐμοῖς, καὶ ὡς ἀνέχονται οἱ ἄνθρω-
ποι τὴν παρρησίαν αὐτῶν καὶ χαίρουσι θεραπευόμενοι
καὶ συμβουλεύουσι πείθονται καὶ ἐπιτιμώντων ὑπο-
πτήσσουσι, ταῦτα πάντα τυραννίδα οὐ μικρὰν ἡγοῦντο
εἶναι. 13. τὸ μὲν δὴ μανθάνειν ὅσα τῇ τοιαύτῃ
προαιρέσει πρόσφορα, μακρὸν ἦν, μᾶλλον δὲ κομιδῇ
ἀδύνατον. αἱ τέχναι δὲ γλίσχρως καὶ σὺν πόνῳ καὶ

---

pateticis, Stoicis, Epicureis et solos priscorum temporum cynicos laudibus in coelum tollit. ita *οὗτοι* dicitur aptissime. *ὀλίγον ὅσον*] *ὅσον* abest vulgo, sed addunt BACMVΠ. *ἐπεπονήειν* pro *ἐπεπόνθειν* et § 12 init: *ἠδίκησε* pro *ἠδίκησαι* Π.

12. *ἀλλ'* BA. *ἀλλὰ* Π et v. *τὸ πολὺ*] *τοπολὺ* A. *ὑπ'*] *ἐπ'* g. *οἵας*] *οἷα* BA. *πλυνοὺς*] *πλανοὺς* Π. *κατάγοιτο* BAΠ. *καταγάγοιτο* v. *ἐν παισὶ* Π et v. *ἐν πᾶσι* BACM. *οὐδ' ὄνομα* Π. *οὐδὲ ὄνομα* BA et v. *δὲ εἰς* BA et v. *δ' εἰς* Π. *τὴν παρρησίαν αὐτῶν* BAΠ. *τὴν παρρησίαν τὴν αὐτῶν* v. *τυραννίδα οὐ μικρὰν*] *οὐ μικρὰν τυραννίδα* Π.

13. libri *γλίσχραι*, sed lemma scholii in cod. Voss: *γλίσχρα* et in ed. Amstel: *γλίσχρας*. reposui: *γλίσχρως*. vide schol. ad Arist. Pac. v. 193 et v. 482. *ὥσπερ οὖν ἐστιν*] haec frustra delet Cobetus V. L. p. 295. sed possis *καὶ* ita transponere: *βαρὺ*

μόγις ἱκανὰ παρέχειν ἐδύναντο. ἐνίοις δὲ καὶ ἡ δουλεία βαρὺ καὶ ὥσπερ οὖν ἐστιν, ἀφόρητον ἐφαίνετο. ἔδοξε δὴ σκοπουμένοις τὴν ὑστάτην ἄγκυραν, ἣν ἱερὰν οἱ ναυτιλλόμενοί φασι, καθιέναι· καὶ ἐπὶ τὴν βελτίστην ἀπόνοιαν ὁρμήσαντες, ἔτι δὲ καὶ τόλμαν καὶ ἀμαθίαν καὶ ἀναισχυντίαν προσπαρακαλέσαντες, αἵπερ αὐτοῖς μάλιστα συναγωνίζονται, καὶ λοιδορίας τινὰς ἐκμελετήσαντες, ὡς πρόχειροι εἶεν καὶ ἀνὰ στόμα, ταύτας μόνας ξυμβολὰς ἔχοντες (ὁρᾷς ὁποῖα πρὸς φιλοσοφίαν ἐφόδια) σχηματίζουσι καὶ μετακοσμοῦσιν αὐτοὺς εὖ μάλα εἰκότως πρὸς ἐμέ. οἷόν τι ἀμέλει ὁ Αἴσωπός φησι ποιῆσαι τὸν ἐν τῇ Κύμῃ ὄνον, ὃς λεοντῆν περιβαλόμενος καὶ τραχὺ ὀγκώμενος ἠξίου λέων καὶ αὐτὸς εἶναι· καί πού τινες καὶ ἦσαν ἴσως οἱ πιστεύοντες αὐτῷ. 14. *τὰ δ' ἡμέτερα πάνυ ῥᾷστα, ὡς οἶσθα, καὶ ἐς μίμησιν πρόχειρα (τὰ προφανῆ λέγω,) καὶ οὐ πολλῆς τῆς πραγμα-*

ὥσπερ οὖν ἐστι καὶ ἀφόρητον conlato l. Rhetor. Praec. § 18: *τὸ πρῶτον, ὥσπερ οὖν καὶ ἔστι πρῶτον.* *ἔδοξε δὴ* BACM*Π*. *ἔδοξεν οὖν* v. *ἄγκυραν* A. *ἀγκύραν* edd. quaedam. libri *ὁρμήσαντες*, puto etiam *Π*, de quo non liquet. verba *ὁρμεῖν* et *ὁρμίζειν* genetivum requirunt *ἐπ' ἀγκύρας*, ut Gesneri conjectura: *ὁρμίσαντες* ferri nequeat. contra *ἐπὶ τὴν ἀπόνοιαν ὁρμᾶν* dictum est aptissime. *ἔτι δὲ Π* cum Lehmanno. *ἔτι τε* BA et v. *προσπαρακαλέσαντες* BM. *προσκαλέσαντες* A*Π* et v. prius illud probavi in Ep. Cr. p. XII comparatis Luc. Pseudolog. § 2 et Thucyd. I, 67 atque II, 68. *λοιδορίας τινὰς* BA*Π*. *λοιδορίας καινὰς* v. eadem de eisdem philosophis leguntur in Icaromen. § 30: *λοιδορίας τινὰς ἐκμεμελετηκότες.* *πρόχειροι εἶεν*] *πρόχειρον εἶναι Π.* post *ἐφόδια* vulgo interrogatur, etiam in A, qui item interrogat post *πρὸς ἐμέ.* *σχηματίζουσιν* a. *αὑτοὺς* Guyetus. libri (etiam A*Π*): *αὐτούς.* *εὖ μάλα εἰκότως πρὸς ἐμέ*] ita conjeci. libri: *εὖ μάλα εἰκότως καὶ πρὸς ἐμέ.* vide Anachars. § 20 et Saturnal. § 11. *Κύμῃ*] *κοίμῃ* BAC. *λεοντῆν*] *λεοντῇ* A (ita A) et pr m B (ubi sec m: *λεοντὴν*). *περιβαλόμενος* A et pr m B. *περιβαλλόμενος Π* et v. eadem varietas lectionis in re eadem est Piscat. § 32 init.

14. *πολλῆς τῆς πραγματείας*] *πολλῆς πραγματείας Π*, qui mox: *ἐξαρτήσασθαι.* libri contra sententiam: *ἄκοντος τοῦ δεσπότου*, in quo aut nemo aut unus fortassis haesit Solanus. correxi: *ἑκόντος τοῦ δεσπότου.* possis etiam: *οὐκ ἄκοντος τ. δ.*, sed illud

τείας δεῖ τριβώνιον περιβαλέσθαι καὶ πήραν ἐξαρτήσασθαι καὶ ξύλον ἐν τῇ χειρὶ ἔχειν καὶ βοᾶν, μᾶλλον δὲ ὀγκᾶσθαι ἢ ὑλακτεῖν καὶ λοιδορεῖσθαι ἅπασι. τὴν ἀσφάλειαν γὰρ αὐτοῖς τοῦ μηδὲν ἐπὶ τούτῳ παθεῖν ἡ πρὸς
373 τὸ σχῆμα αἰδὼς * παρέξειν ἔμελλεν. ἡ ἐλευθερία δὲ πρόχειρος, ἑκόντος τοῦ δεσπότου, κἂν εἰ βούλοιτο ἀπάγειν, παταχθησομένου τῷ ξύλῳ. καὶ τὰ ἄλφιτα οὐκέτ' ὀλίγα, οὐδὲ ὡς πρὸ τοῦ μᾶζα ψιλή, τὸ δ' ὄψον οὐ τάριχος ἢ θύμον, ἀλλὰ κρέα παντοδαπὰ καὶ οἶνος οἷος ἥδιστος καὶ χρυσίον παρ' ὅτου ἂν ἐθέλωσι. δασμολογοῦσι γὰρ ἐπιφοιτῶντες, ἤ, ὡς αὐτοί φασιν ἀποκείρουσι τὰ πρόβατα, οἱ δὲ δώσοντες πολλοὶ ὅσα οἷόν τε ἢ αἰδοῖ τοῦ σχήματος ἢ δέει τοῦ μὴ ἀκοῦσαι κακῶς. 15. καὶ γὰρ αὖ κἀκεῖνο ἑώρων, οἶμαι, ὡς ἐξ ἴσου καταστήσονται τοῖς ὀρθῶς φιλοσοφοῦσιν, οὐδέ τις ὁ δικάσων καὶ διακρινῶν τὰ τοιαῦτα ἔσται, ἢν μόνον τὰ ἔξω ᾖ ὅμοια.

---

lenius. hoc dicit: ‚non invito domino' (quippe qui propudio isto libenter careat). denique hanc correctionem locus geminus confirmat De Morte Peregr. § 15 fin: *οἱ δὲ ἐχθροὶ ἐπεφίμωντο, κἂν εἴ τις ἐπιχειρήσειε μεμνῆσθαι τοῦ φόνου, λίθοις ἐβάλλετο.* *οὐκέτ'* A pro *οὐκ ἔτ'* et mox *πρὸ τοῦ*, ubi *προτοῦ* abck. *μᾶζα* Jacobitius pro *μάζα*. *τὸ δ' Π.* *τὸ δὲ* BA et v. *ὄψον* BACV*Π*. *ὀψώνιον* v. *οὐ τάριχος ἢ Π* et v. *ἢ τάριχος ἢ* BA. *οἷος ἥδιστος*] *οἷος ὁ ἥδιστος Π.* post *τὰ πρόβατα* pergunt: *δώσειν τε πολλοὺς οἴονται ἢ αἰδοῖ* (*αἰδεῖ Π*) *Π* et v. *δώσειν τε πολλοὺς οἷόν τε ἢ αἰδοῖ* M. *δώσειν τε πολλοῖς οἴονται, ἢ αἰδοῖ* A (ita A). *δώσειν τε πολλοῖς οἴονται* (?) *ἢ αἰδοῖ* B. hodie correxi ut supra positum est: *οἱ δὲ δώσοντες πολλοὶ ὅσα οἷόν τε ἢ αἰδοῖ* — h. e. ‚multi quantum possunt donaturi sunt'. vide Nigrin. § 10: *ὅσα οἷόν τε ἦν* et Pro Imagin. § 21: *ἐφ' ὅσον οἷόν τε.* sed tam graviter nostrum locum corruptum esse quum caeteros latuit (ut eos qui nuper partim *οἴονται* revocarunt partim *οἷόν τε* me auctore tuiti sunt), tum etiam me plane fugerat in Ep. Cr. p. XXII, ubi haec minime persanata sunt. hoc tamen videram, *οἴονται* vulgatam esse ineptam et correctionis egere, alteram autem lectionem *οἷόν τε* probandam, denique *οἴονται* et *οἷόντε* etiam alibi ut in Charon. § 22, De Hist. Conscr. § 5, Thucyd. II, 89 in codicibus mixta esse atque confusa.

15. *ἐξ ἴσου* A. *ἐξίσου* v. *οὑτωσὶ*] *οὕτωσί,* A. *καταβραχὺ* abck. mox desidero verbum, veluti: *καὶ πρόχειρον*

ἀρχὴν γὰρ οὐδὲ τὸν ἔλεγχον δέχονται, ἢν ἔρηταί τις
οὑτωσὶ κοσμίως καὶ κατὰ βραχὺ, ἀλλ' εὐθὺς βοῶσι καὶ
ἐπὶ τὴν ἀκρόπολιν τὴν ἑαυτῶν ἀναφεύγουσι τὴν λοιδο-
ρίαν, καὶ πρόχειρον τὸ ξύλον. καὶ ἢν μὲν τὰ ἔργα
ζητῇς, οἱ λόγοι πολλοί· ἢν δ' ἀπὸ τῶν λόγων κρίνειν
ἐθέλῃς, τὸν βίον ἀξιοῦσι σκοπεῖν. 16. τοιγαροῦν ἐμπέ-
πλησται πᾶσα πόλις τῆς τοιαύτης ῥᾳδιουργίας, καὶ
μάλιστα τῶν Διογένην καὶ Ἀντισθένην καὶ Κράτητα
ἐπιγραφομένων καὶ ὑπὸ τῷ κυνὶ ταττομένων, οἳ τὸ μὲν
χρήσιμον ὁπόσον ἔνεστι τῇ φύσει τῶν κυνῶν, οἷον τὸ
φυλακτικὸν ἢ οἰκουρικὸν ἢ φιλοδέσποτον ἢ μνημονικὸν
οὐδαμῶς ἐζηλώκασιν, ὑλακὴν δὲ καὶ λιχνείαν καὶ ἁρπα-
γὴν καὶ ἀφροδίσια συχνὰ * καὶ κολακείαν καὶ τὸ σαί- 374
νειν τὸν διδόντα καὶ περὶ τραπέζας ἔχειν, ταῦτα ἀκρι-
βῶς ἐκπεπονήκασιν. 17. ὄψει τοίνυν μετὰ μικρὸν οἷα
ἔσται. οἱ γὰρ ἐκ τῶν ἐργαστηρίων ἅπαντες ἀναπηδή-
σαντες ἐρήμους τὰς τέχνας ἐάσουσιν, ὅταν ὁρῶσι σφᾶς
μὲν πονοῦντας καὶ κάμνοντας ἕωθεν εἰς ἑσπέραν ἐπι-
κεκυφότας τοῖς ἔργοις μόγις ἀποζῶντας ἐκ τῆς τοιαύτης
μισθαρνίας, ἀργοὺς δὲ καὶ γόητας ἀνθρώπους ἐν ἅπα-
σιν ἀφθόνοις βιοῦντας, αἰτοῦντας μὲν τυραννικῶς,

[ἔχουσι] τὸ ξύλον. δ' ἀπὸ Π. δὲ ἀπὸ BA et v. ἐθέλῃς BAC. ἐθέλεις Π. ἐθέλοις v.

16. πᾶσα πόλις A. de B non constat. πᾶσα ἡ πόλις Π et v. ἡ πόλις (omisso illo πᾶσα) hinc adfert Thomas p. 324, 11. τῶν BACMΠ. τὸν v. διογένην καὶ ἀντισθένην BAΠ. Διογένη καὶ Ἀντισθένη v. Κράτητα] κρατα pr m (κράτιτα sec) Π. οἳ τὸ BA. οἱ τὸ ΠU m o. ἢ τὸ edd. vett. οἷον τὸ BACMΠ m o. οἷον a. ἢ τὸ U. οἳ τὸ bcd et aliae edd. vitio e superioribus orto. ἢ οἰκουρικὸν ἢ φιλοδέσποτον BA. ἢ τὸ φιλοδέσποτον ἢ οἰκουρικὸν Π. ἢ τὸ οἰκουρικὸν ἢ τὸ φιλοδέσποτον v. λιχνείαν BAΠ. λιχνίαν v.

17. ἐάσουσιν Π et v. ἐάσωσιν BAC. ὁρῶσι BAΠ edd. vett. ὁρῶσιν error Reitzianae. σφᾶς] σφὰς A. εἰς ἑσπέραν] ἐς ἑσπέραν ACΠ. ἐπικεκυφότας] ἐπικεκυφότες A. ἔργοις μόγις BΠ et qui interpungit ἔργοις. μόγις A. ἔργοις καὶ μόγις v, quod nuper revocatum esse miror. ἀφθόνοις BAC cum Fabro. ἀφθόνως Π et v. dictionem ἐν ἅπασιν ἀφθόνοις διάγειν Schwidopius (Obs. Luc. I p. 5 et II p. 53) multis multorum testimoniis

λαμβάνοντας δὲ προχείρως, ἀγανακτοῦντας δὲ, εἰ μὴ λάβοιεν, οὐκ ἐπαινοῦντας δὲ, οὐδ' εἰ λάβοιεν. ταῦτα ὁ ἐπὶ Κρόνου βίος δοκεῖ αὐτοῖς, καὶ ἀτεχνῶς τὸ μέλι αὐτὸ ἐς τὰ στόματα ἐσρεῖν ἐκ τοῦ οὐρανοῦ. 18. καὶ ἧττον ἂν δεινὸν τὸ πρᾶγμα ἦν, εἰ τοιοῦτοι ὄντες μηδὲν ἐς ἡμᾶς ἄλλο ἐξύβριζον· οἱ δὲ μάλα σεμνοὶ καὶ σκυθρωποὶ τὰ ἔξω καὶ τὰ δημόσια φαινόμενοι, ἢν παιδὸς ὡραίου ἢ γυναικὸς λάβωνται καλῆς καὶ λήσειν ἐλπίσωσι, σιωπᾶν ἄξιον, οἷα ποιοῦσιν. ἔνιοι δὲ καὶ ξένων τῶν σφετέρων γυναῖκας ἀπάγουσι μοιχεύσοντες κατὰ τὸν

---

inlustravit. *βιοῦντας*] *βοιοῦντας* a. *τὸ μέλι — ἐσρεῖν* (*ἐσρεῖν* A) *ἐκ τοῦ οὐρανοῦ*] „a Christiano Judaeove scriptum dicas, qui de manna cogitaverit". Solanus. omnino manna et melli simile fuisse et vero caelitus delapsum volunt tum sacri scriptores (velut in Exod. 16, 31, Numer. 11, 9, Ev. Joann. 6, 31 sqq.) tum Josephus (Archaeol. 3, 6). quodsi ad ipsum manna nostro l. adlusum esset, nulla ratione hic dialogus scribi ab Luciano potuisset, viro et Veteris Testamenti et Novi plane ignaro. male igitur Wielandius Lehmannusque ad manna illud hic respici Solano ita concedunt, ut haec tamen ab ipso Luciano scripta esse defendant. immo Solanum manna illius rationem haberi opinatum sic illi debebant refutare, ut hic auream Graecorum aetatem unice describi hisce verbis edocerent: *ταῦτα ὁ ἐπὶ Κρόνου βίος δοκεῖ αὐτοῖς.* atqui sub Saturno mel divina virgula suppeditatum nondum apum labor fuit, sed ‚durae quercus sudabant roscida mella', ut est ap. Vergilium et aliis verbis ap. Ovid. Metam. I, 112 et rursum aliis ap. nostrum Saturnal. § 7, ubi sunt *πηγαὶ μέλιτος.* de caelo tamen delapsum sub Saturno mel hoc uno loco narrari fateor, quod aut inventum ab ipso Luciano aut a comicis videtur acceptum esse. comoedia enim auream aetatem ita depingit, ut mutis quoque piscibus sonum donet (Crates ap. Athen. VI p. 267, f v. 9) et alia portenta jocose fingat (Teleclides ap. Athen. VI p. 268, c v. 12).

18. *οἱ δὲ μάλα*] non videtur mutandum esse, etsi tali loco attici potius dicere solent: *νῦν δὲ οἱ μάλα —.* *λάβωνται καλῆς, ἢν ἐλπίσωσι* BAV. *λάβωνται καλῆς, ἢ ἐλπίσωσι* Π et v. enimvero Lucianus scripserat: *λάβωνται καλῆς καὶ λήσειν ἐλπίσωσι,* quam emendationem sive Valckenari sive suam habet Cobetus V. L. p. 139, sed ita habet ut in *καλῆσ ἢ* latere voluerit *καὶ λήσειν* et necessario illo *καλῆς* omisso temere scripserit: *λάβωνται καὶ λήσειν ἐλπίσωσι.* *μοιχεύσοντες*] *μοιχεύσαντες* A (ita A).

Ἠλιέα ἐκεῖνον νεανίσκον, ὡς φιλοσοφοῖεν δὴ καὶ αὐταί. εἶτα κοινὰς αὐτὰς ἅπασι τοῖς ξυνοῦσι προθέμενοι, [τοῦτο κατὰ] Πλάτωνός τι δόγμα οἴονται ποιεῖν, οὐκ εἰδότες ὅπως ὁ ἱερὸς ἐκεῖνος ἠξίου κοινὰς ἡγεῖσθαι τὰς γυναῖκας. 19. ἃ μὲν γὰρ ἐν τοῖς συμποσίοις δρῶσι καὶ ἃ μεθύσκονται, μακρὸν ἂν εἴη λέγειν. καὶ ταῦτα ποιοῦσι, πῶς οἴει; κατηγοροῦντες αὐτοὶ * μέθης καὶ μοιχείας καὶ λαγνείας καὶ φιλαργυρίας· οὐδὲν γοῦν οὕτως εὕροις ἂν ἄλλο ἄλλῳ ἐναντίον ὡς τοὺς λόγους αὐτῶν καὶ τὰ ἔργα. οἷον κολακείαν μισεῖν φασι, κολακείας ἕνεκα τὸν Γναθωνίδην ἢ τὸν Στρουθίαν ὑπερ-

αὐτὰς BACM. ταύτας Π et v. libri: προθέμενοι, Πλάτωνός τι δόγμα οἴονται ποιεῖν. at quum δόγμα ποιεῖν nec dictum sit unquam neque dici possit: sequitur aut verbum ποιεῖν corruptum esse, quae Halmii sententia fuit, aut id qnod credibilius est, nonnihil excidisse. hinc snpplevi: προθέμενοι [τοῦτο κατὰ] Πλάτωνός τ. δ. ο. ποιεῖν, quae jam ad superius illnd: κατὰ τὸν Ἠλιέα ἐκεῖνον νεανίσκον concinne referuntur. similis locus exstat De Sacrific. § 5: — κατὰ τοὺς Περσῶν τοῦτο καὶ Ἀσσυρίων νόμους, plane antem geminus locus de eadem re in Convivio § 39: κατὰ τὰ Πλάτωνι δοκοῦντα. ὁ ἱερὸς ἐκεῖνος] olim conlatis Ar. Ran. v. 652 aliisque locis ἀνήρ addi volueram: ὁ ἱερὸς ἐκεῖνος ἀνήρ, praeter necessitatem. nam ὁ ἱερός quasi quoddam cognomen est, ut Arignoti Pythagorici in Philopseude § 29. Plato autem etiam alibi honoris cansa sic adpellatus est (velut in Pseudolnciani Amoribus § 31: ὥσπερ ὁ ἱερὸς εἶπεν ἀνήρ), nec mirum de Platone, ut passim creditus est, ipsius Apollinis filio (Diog. Laert. III, 3 et ibi Menagius). caeterum Lucianus quo tempore haec scripsit (a. fere 166) adhuc fuisse videtur Platonicus.

19. ποιοῦσι] ποιοῦσιν a. εὕροις ἂν Belinus. libri εὕροις. φασι] φασίν, A (ita A). τὸν Γναθ. ἢ τ. Στρ.] schol. Parisinns Bachmanni (Anecd. II p. 345, 26) et similiter Vossianus: ὅτι Γναθωνίδης καὶ Στρουθίας κολάκων ἦσαν οἱ περιφανέστατοι. quorum alter, Στρουθίας, parasiti colacis persona fuerat in Menandri fabula ΚΟΛΑΞ (ap. Meinekium Fragm. p. 99 ed. I sive Fragm. Com. IV p. 152). hujus dramatis partem Terentius ‚Eunncho‘ sic inseruit, ut tamen qui parasitus Menandro fuerat Στρουθίας, is jam nomine mutato apud Terentium esset ‚Gnatho‘ (ut II, 1, 22) et discipuli ejus commentitii ‚Gnathonici‘ (II, 2, 33). qnin ‚Gnathonis‘ personam unde Terentius, indidem alii quoque sumserunt, veluti Plutarchus Sympos. VII, 6, 2: ἀνελεύθερον εὖ

βαλέσθαι δυνάμενοι· ἀληθεύειν τοὺς ἄλλους προτρέποντες, οὐκ ἂν οὐδὲ κινῆσαι τὴν γλῶτταν μὴ μετὰ τοῦ καὶ ψεύσασθαι δύναιντο. ἡδονὴ πᾶσιν ἐχθρὸν τῷ λόγῳ καὶ ὁ Ἐπίκουρος πολέμιος, ἔργῳ δὲ διὰ ταύτην ἅπαντα πράττουσι. τὸ δ' ὀξύχολον καὶ μικραίτιον καὶ πρὸς ὀργὴν ῥᾴδιον ὑπὲρ τὰ βρεφύλλια τὰ νεογνά. γέλωτα οὖν οὐ μικρὸν παρέχουσι τοῖς θεωμένοις, ὁπόταν ὑπὸ τῆς τυχούσης αἰτίας ἐπιζέσῃ μὲν αὐτοῖς ἡ χολὴ, πελιδνοὶ δὲ τὴν χροιὰν βλέπωνται ἰταμόν τι καὶ παράφορον δεδορκότες καὶ ἀφροῦ, μᾶλλον δὲ ἰοῦ μεστὸν αὐτοῖς ᾖ τὸ στόμα. 20. μὴ σύ γε κεῖθι τύχοις, ὅτε ὁ μιαρὸς ἐκεῖνος ἐκχεῖται βόρβορος· „χρυσίον μὲν ἢ ἀργύριον, Ἡράκλεις, οὐδὲ κεκτῆσθαι ἄξιον, ὀβολὸς ἱκα-

---

μάλα καὶ Γναθώνειον, εἰ δὴ Γνάθων γέγονε δεινότατος ἄνθρωπος τἀλλότρια δειπνεῖν. Grauertus autem (Analekten p. 162 adnot.) e Terentio Lncianum personam *Γναθωνίδης* mutuatum esse male conjecit, si quidem Lucianus non magis quam Plutarchus a Terenti Eunucho pendet, sed ex eodem fonte qno Terentius sua ambo hauserunt. nempe *Γνάθων* in nova comoedia, sive in alia ipsius Menandri fabnla sive potius apud alium (ut Diphilum) parasiti colacis persona fuerat. denique suspicor ei parasito, qui in Diphili fabula *ΠΑΡΑΣΙΤΟΣ* fuerat, hoc ipsum nomen inditum fuisse ‚Gnathonis', praesertim qnum Diphili vestigia alibi quoque Terentius legerit. caeterum Lncianus more suo anachronismnm sciens admisit in Timone § 45, ubi ad Timonem hominum osorem, qui multo ante vixerat accessisse dicitur: *Γναθωνίδης ὁ κόλαξ*. rursus hunc ipsum Timonis locum Alciphro Luciani simius in Epist. III, 34 ita exscribit, ut de Timone loquatur ‚*Γνάθων*' (sic) parasitus. nempe idem nomen fuit et *Γνάθων* et *Γναθωνίδης*. *κινῆσαι*] *κινήσαι Π*. *μετὰ τοῦ καὶ* BA. *μετὰ καὶ τοῦ Π* et v.

γέλωτα οὖν] ita conjeci. libri: *γοῦν* pro *οὖν*. *χροιὰν*] *χρόαν* mavult Jacobitius, forma apud nostrum magis usitata. *ἰοῦ μεστὸν — τὸ στόμα*] ne quis forte haec ‚a Christiano Judaeove', scripta dicat, qui loci in Ep. Jacobi III, 8: *τὴν δὲ γλῶσσαν — μεστὴ ἰοῦ θανατηφόρου* memor fuerit, vel unns cavebit Pollux VI, 125 de iracundo: *ἰοῦ γέμων*.

20. *μὴ σύ γε ἐκεῖθι Π* et v. sed *μὴ σύ γε κεῖθι* A, ut in Ep. Cr. p. IX conjeceram parodia ostensa Homerici Od. *μ'*, 106 de Charybdi: *μὴ σύ γε κεῖθι τύχοις, ὅτε ῥοιβδήσειεν*. extra parodiam in ipso Luciano atticum *ἐκεῖθι* l. l. recte tuitus sum ad-

νος, ὡς θέρμους πριαίμην· ποτὸν γὰρ ἡ κρήνη ἢ
ποταμὸς παρέξει.“ καὶ μετ' ὀλίγον αἰτοῦσιν οὐκ ὀβο-
λοὺς οὐδὲ δραχμὰς ὀλίγας ἀλλὰ πλούτους ὅλους. ὥστε
τίς ἔμπορος τοσοῦτον ἀπὸ τοῦ φόρτου ἐμπολήσειεν ἄν,
ὅσον τούτοις φιλοσοφία ἐς χρηματισμὸν συντελεῖ; εἶτ'
ἐπειδὰν ἱκανῶς συλλέξωνται καὶ ἐπισιτίσωνται, ἀπορ-
ρίψαντες τὸ δύστηνον ἐκεῖνο τριβώνιον, ἀγροὺς ἐνίοτε
καὶ ἐσθῆτας τῶν μαλθακῶν ἐπρίαντο καὶ παῖδας κομή-
τας καὶ συνοικίας ὅλας, μακρὰ χαίρειν * φράσαντες τῇ 376
πήρᾳ τῇ Κράτητος καὶ τῷ τρίβωνι τῷ Ἀντισθένους καὶ
τῷ πίθῳ τῷ Διογένους. 21. οἱ ἰδιῶται δὲ ταῦτα ὁρῶν-
τες καταπτύουσιν ἤδη φιλοσοφίας καὶ ἅπαντας εἶναι
τοιούτους οἴονται κἀμὲ τῆς διδασκαλίας αἰτιῶνται. ὥστε
πολλοῦ ἤδη χρόνου ἀδύνατόν μοι γεγένηται κἂν ἕνα
τινὰ προσαγαγέσθαι αὐτῶν, ἀλλὰ τὸ τῆς Πηνελόπης
ἐκεῖνο πάσχω. ὁπόσον γὰρ δὴ ἐγὼ ἐξυφήνω, τοῦτο ἐν
ἀκαρεῖ αὖθις ἀναλύεται. ἡ Ἀμαθία δὲ καὶ ἡ Ἀδικία
ἐπιγελῶσιν ὁρῶσαι ἀνεξέργαστον ἡμῖν τὸ ἔργον καὶ

---

lato Herodot. § 8, ubi Jacobitius male edidit κεῖθι, qui ne postea quidem (IV p. 563) mentem meam percepit. ἄξιον] ita correxi et pridem ita correctum oportuit. ἀξιῶν BACM. ἀξιῶ Π et v.
ἢ κρήνη BA. ἡ κρήνη Π et v. καὶ μετ' ὀλίγον codices et a. καὶ om bcd aliaeque edd. φόρτου] φορτίου V solus. utrumque, τὸ φορτίον et ὁ φόρτος, Lucianeum est. ἐμπολήσειεν BAV. ἐμπωλήσειεν Π. πλήσειεν edd. ante Schmiederum, non item scholiasta, uti Reitzius narravit ne ausus quidem immutare πλήσειεν, quod jam Solanus et Guyetus corruptum esse viderant.
εἶτα ἐπειδὰν Π. ἐπισιτίσονται a. τὸ δύστηνον ἐκεῖνο] ita transposui. ἐκεῖνο τὸ δύστηνον Π et v. ἐκεῖνοι τὸ δύστηνον A. vide praeter alia D. Mort. 15, 2: τὸ δύστηνον ἐκεῖνο δοξάριον, Pseudolog. § 19: τὸ δύστηνον ἐκεῖνο πυργίον, Nigrin. § 22: τὸ φορτικὸν ἐκεῖνο δεῖπνον. μαλθακῶν BAΠ. μαλακῶν v. τῷ Ἀντισθένους et mox τῷ Διογένους BACΠ. τοῦ Ἀντισθένους et mox τοῦ Διογένους v.
21. ταῦτα ὁρῶντες] τοῦθ' ὁρῶντες Π. πολλοῦ ἤδη χρόνου BA. πολλοῦ ἤδη τοῦ χρόνου Π et v. προσαγαγέσθαι] προσάγεσθαι Π pr m. Πηνελόπης] πηνελότης A. ἀκαρεῖ] ἀκαρὶ B. ἀναλύεται] ex Odyss. β', 105 et v. 109. ἀνήνυτον τὸν πόνον Π cum Halmio. ἀνήνυτον πόνον BA et v.

ἀνήνυτον τὸν πόνον. 22. ΖΕΥΣ. οἷα, ὦ θεοί, πέπονθεν ἡμῖν ἡ Φιλοσοφία πρὸς τῶν καταράτων ἐκείνων. ὥστε ὥρα σκοπεῖν ὅ τι καὶ πρακτέον ἢ ὅπως αὐτοὺς μετελευστέον. ὁ μὲν γὰρ κεραυνὸς ἀπάγει μιᾷ πληγῇ καὶ ὁ θάνατος ταχύς. ΑΠΟΛ. ἐγώ σοι, ὦ πάτερ, ὑποθήσομαι· μισῶ γὰρ καὶ αὐτὸς ἤδη τοὺς ἀλαζόνας ἀμούσους ὄντας ὑπὲρ τῶν Μουσῶν ἀγανακτῶν. κεραυνοῦ μὲν ἢ τῆς σῆς δεξιᾶς οὐδαμῶς ἐκεῖνοι ἄξιοι, τὸν Ἑρμῆν δὲ αὐτοκράτορα, εἰ δοκεῖ, τῆς κολάσεως κατάπεμψον ἐπ᾽ αὐτούς· ὃς ἅτε δὴ περὶ λόγους ἔχων καὶ αὐτὸς τάχιστα εἴσεται τούς τε ὀρθῶς φιλοσοφοῦντας καὶ τοὺς μή. εἶτα τοὺς μὲν ἐπαινέσεται, ὡς τὸ εἰκός, οἱ δὲ κολασθήσονται, ὅπως ἂν ἐκείνῳ πρὸς τὸν καιρὸν δοκῇ. 23. ΖΕΥΣ. εὖ λέγεις, ὦ Ἄπολλον. ἀλλὰ καὶ σύ, ὦ Ἡράκλεις, ἅμα καὶ τὴν Φιλοσοφίαν αὐτὴν ἔχοντες ἄπιτε ὡς τάχιστα εἰς τὸν βίον. τρισκαιδέκατον γοῦν
377 ἆθλον οἷον * τοῦτον οὐ σμικρὸν ἐκτελέσεις, ἢν ἐκκόψῃς

---

